# AKROPOLIS WORLD NEWS

**www.akwn.net**

J. Coderch

**Ninth Year**

**(September 2010 - June 2011)**

## Florida priest will not burn Quran / Sarkozy and the expulsion of the gypsies / Salmond will not call the referendum on independence

(12-09-10)

**Ὁ τῆς Φλορίδης ἱερεὺς τὸ Κοράνιο οὐ καύσεται**

Ὁ Ἰώνης, ἱερεύς τις ἐν τῇ Φλορίδῃ, τὸ Κοράνιο (τὴν ἱερὰν βίβλον τῶν Μουσουλμάνων) καίειν ἐν νῷ εἶχεν, ἐβούλετο μὲν γὰρ τοῖς Μουσουλμάνοις ἐνίστασθαι ἅτε βουλομένοις νέον τσαμὶ ἐν τῇ Νέᾳ Ὑόρκῃ οἰκοδομεῖν, διαβεβαιοῦται δὲ οὗτος ὁ ἱερεὺς ὅτι αἱ ΗΑΠ διὰ τοὺς Μουσουλμάνους κινδυνεύουσιν. ὅμως δέ, τῆς ἀγγελίας περὶ τούτου τοῦ βουλεύματος ταχέως πανταχόσε διασπαρείσης, οὐ μόνον ὁ τῶν ΗΑΠ πρόεδρος Ὀβάμα ἀλλὰ καὶ πολλοὶ ἄλλοι ἄρχοντες Ἀμερικάνοι τε καὶ ἄλλων χωρῶν, νομίζοντες τοῦτο τὸ βούλευμα πρόκλησιν πρὸς τὴν βίαν εἶναι καὶ τὰ συνεπόμενα φοβούμενοι, τὸν Ἰώνην ἀπῃτήκασιν τὸ Κοράνιο μὴ καίειν· τοσοῦτο δὲ τούτῳ λελιπαρήκασιν ὥστε ὁ ἱερεὺς εἶπεν ὅτι τὴν βίβλον οὐ καύσοιτο.

**Ὁ Σαρκοζὺ καὶ ἡ τῶν τσιγγάνων ἐκβολή**

Τῷ Σαρκοζὺ, προέδρῳ τῆς Γαλατίας, δέδοχε τοὺς τσιγγάνους ἐκ τῆς Γαλατίας ἐκβαλεῖν, κατὰ γὰρ αὐτὸν οἱ πλεῖστοι τούτων παρανόμως ἐν τῇ χώρᾳ εἰσίν· οἱ πλεῖστοι τούτων τῶν τσιγγάνων, ἐκ τῆς Ῥουμανίας ἀφικομένων, οὐκ ἐν οἰκήμασιν ἀλλὰ ἐν σκήναις οἰκοῦσιν. νῦν δὲ ἡ μὲν τῆς Γαλατίας ἀρχὴ χρήματα αὐτοῖς παρέχει ἵνα πάλιν εἰς τὴν Ῥουμανίαν ἐπανελθῶσιν, πολλοὶ δὲ τὰ χρήματα λάβοντες ἤδη οἴχονται. καίπερ τοῦτο τὸ βούλευμα πολλῶν ἀρχόντων τε καὶ πολιτῶν ἐν τῇ Εὐρώπῃ ψεγόντων, ὁ Σαρκοζὺ λέληχεν ὅτι δεῖ τὸ τῆς Γαλατίας ἰδίον σῴζειν.

**Ὁ Σάλμονδ συμβουλὴν περὶ τῆς αὐτονομίας οὐ ποιήσει**

Τῷ Ἀλεξάνδρῳ Σάλμονδ, προέδρῳ τῆς Σκοτίας, δοκεῖ νῦν τὴν περὶ τῆς αὐτονομίας συμβουλὴν μὴ ποιεῖν, καίπερ τῷ Φεβρουαρίῳ αὐτὴν ποίησειν ὑποσχόμενος· ὁ Σάλμονδ τὸ μὲν αὐτὸ καὶ ἐν τῷ Κεβὲκ ποιεῖν ἐν νῷ εἶχεν, νῦν δὲ ἐξαίφνης τὸ βούλευμα μετέβαλεν, εἰκότως δὲ αἵδε εἰσὶν αἱ ταύτης τῆς μεταβολῆς αἰτίαι· ἡ οἰκονομικὴ κρίσις καὶ ἡ τῶν τραπεζῶν ἀνασκευὴ καὶ ἡ τῆς τε Ἰσλανδίας καὶ τῆς Ἰρλανδίας κρίσις (ταύτας γὰρ τὰς χώρας

ἀεὶ ὡς παράδειγμα προσετίθει) κτλ· ὅμως δὲ οἱ τῆς Σκοτίας πολῖται τὴν ἀρχὴν τοῦ Σάλμονδ ἐπαινοῦσιν.

## Auschwitz survivor dances in camp itself / Oktoberfest begins

(19-09-10)

**Περιών τις ἐκ τοῦ Ἄουσβιζ ἐν τῷ στρατοπέδῳ αὐτῷ χορεύει**

Νεωστὶ κινηματογραφικὸν ἔργον ἐνδοξότατον γεγένηται ἐν τῷ Ψου Τυβε, ἐν δὲ τούτῳ τῷ ἔργῳ ἰδεῖν ἔξεστιν ἄνδρα τινά, Ἄδολεκ Κῶν ὀνόματι, καὶ τὴν θυγάτερα αὐτοῦ καὶ τοὺς παῖδας ταύτης ἐν τῷ στρατοπέδῳ συγκεντρώσεως Ἄουσβιζ χορεύοντας ἅμα τὴν τῆς Γλορίας Γαῖνωρ ᾠδὴν "Περιγενήσομαι" ἀκούοντας. ἥδε ἡ ἱστορία·

Τοῦ Ἵτληρ εἰς τὴν Πολονίαν εἰσβαλόντος, ὁ Α. Κ., ἑπτακαίδεκα ἔτη γεγονώς, εἰς γέτο τι προσεπέμφθη· ἔπειτα δέ, ἤδη εἴκοσι καὶ τρία ἔτη γεγονώς, πρὸς τὸ στρατόπεδον συγκεντρώσεως Ἄουσβιζ προσπεμφθείς, ἐκεῖ ἔτος ἔμενεν· ἐλευθερωθεὶς δὲ ὑπὸ τῶν Ἀμερικανῶν, πρὸς τὴν Ἀουστραλίαν ἀπεδήμησεν, οὗ ἀεὶ ἐβιώτευεν ἕως πάλιν εἰς τὴν Ἄουσβιζ νεωστὶ ἐπανῆλθεν, ἤδη ὀγδοήκοντα καὶ ὀκτὼ ἔτη γεγονώς. τότε δὲ αὐτῷ τε καὶ τοῖς ἐξ αὐτοῦ ἔδοξε τοῦτο τὸ κινηματογραφικὸν ἔργον ποιεῖν τε καὶ εἰς τὸ Ψου Τυβε εἰσθεῖναι. τούτου ἤδη οὕτω πεποιημένου, πολλοὶ ἄνθρωποι εἰς τὸ Ψου Τυβε εἰσβάντες τὸ ἔργον ἑωράκασιν. λέγει ὁ Α. Κ. ὅτι νομίζει τοῦτο τὸ ἔργον σύμβολον τοῦ περιγίγνεσθαι καὶ τοῦ βίου εἶναι.

**Ἡ ἑορτὴ τοῦ κριθίνου οἴνου (Ὀκτόβερφεστ) ἄρχεται**

Ἡ ἑορτὴ τοῦ Μονάχου, ἡ ἐνδοξοτάτη ἑορτὴ τοῦ κριθίνου οἴνου ἐν πάσῃ τῇ οἰκουμένῃ, ἤδη ἦρκται, ὁ δὲ τῆς πόλεως ἄρχων, ὁ Χριστιάνος Οὖδε, τὴν πρώτην συμβολικὴν κύλικα ἔπιεν· τοῦ ἄρχοντος ἀφικνουμένου, ὁ λειμὼν ἐν ᾧ κατ᾽ ἐνιαυτὸν οἱ πολῖται τὰς σκηνὰς πηγνύντες τὴν ἑορτὴν ποιοῦνται, λειμὼν τῆς Ἁγίας Τερέζης καλούμενος, ἤδη ὑπέρπλεως ἦν, καὶ δὴ καὶ τούτῳ τῷ ἔτει οἱ ἑορτάζοντες πολλῷ πλείονες ἔσονται, τούτῳ γὰρ τῷ ἔτει ἤδη τὸ διακοσιοστὸν ἔτος ταύτην τὴν ἑορτὴν ποιοῦνται.

Οὐδεὶς οἶδε τί περὶ τοῦ καπνίζειν ποιήσονται, οἱ γὰρ τῆς Βαυαρίας ἄρχοντες τὸ καπνίζειν ἐν πᾶσι τοῖς ὀψοπωλίοις ἀπειρήκασιν, καὶ ἐν ταῖς σκηναῖς ἐν αἷς τὴν ἑορτὴν ποιοῦνται. ὅμως δὲ λέγεται ὅτι τούτῳ τῷ ἔτει, τῷ πρώτῳ ὄντι ἐξ οὗ ἡ ἀπαγόρευσις ἐγένετο, καπνίζειν ἐάσονται.

## Japan frees captain of Chinese ship / Why does the Finance Minister of Switzerland laugh? / Ecologists block Newcastle harbour

(26-09-10)

**Οἱ Ἰαπωνικοὶ δικασταὶ τὸν κυβερνήτην Κινεζικῆς νέως ἀφιᾶσιν**

Οἱ Ἰαπωνικοὶ δικασταὶ τὸν κυβερνήτην Κινεζικῆς νέως ἀφεῖσαν ἣ δυοῖν Ἰαπωνικαῖς ναυσὶν ἐπέπεσεν. τοῦτο τὸ δυστύχημα ἐγγὺς τῶν νήσων Σενσάκου ἐγένετο, διὰ δὲ τοῦτο οἱ τῶν Ἰαπωνικῶν νεῶν ἐπιβάται, τῆς προσκρούσεως γενομένης, τὸν τῆς Κινεζικῆς νέως κυβερνήτην εὐθὺς βίᾳ κατέλαβον, ἡ μὲν γὰρ Ἰαπωνία καὶ ἡ Κίνα καὶ τὸ Ταιουᾶν ταύτας τὰς νήσους ἤδη πάλαι ἑαυτῶν εἶναι νομίζουσιν, εἰ δὲ τοῦτο τὸ δυστύχημα ἄλλοθι ἐγένετο, οὐδεὶς τοῦτο πρόκλησιν εἶναι ἐνόμισεν ἄν· πότερον ὁ Κινεζικὸς κυβερνήτης ἐπιτηδὲς τὴν ναῦν ἐπὶ τὰς Ἰαπωνικὰς ναῦς ἐκυβέρνησεν ἢ οὔ, εἰδέναι οὐκ ἔξεστιν· μετὰ δὲ τὴν πρόσκρουσιν ἡ Σίνα τέτταρας Ἰαπωνικοὺς πολίτας νεωστὶ κατειλήφει καὶ ἡ Κινεζικὴ ἀρχὴ ἐν νῷ εἶχεν αὐτῶν κατασκοπὴν καταδικάζειν, ἴσως δὲ τοῦτο τὴν Ἰαπωνίαν ἠνάγκασε τὸν Κινεζικὸν κυβερνήτην ἀφεῖναι, ἵνα τὴν καταδίκην φυγεῖν δυνῶνται.

**Διὰ τί ὁ τῆς οἰκονομίας ὑπουργὸς τῆς Ἑλβετίας οὕτω γελᾷ;**

Τὸν τῆς οἰκονομίας ὑπουργὸν τῆς Ἑλβετίας ἔδει ἐν τῇ βουλῇ ἀγορεύειν· ἆρα περὶ τίνος; τί οὕτω γελοῖον ἦν; περὶ νόμων τινῶν οἳ τὴν τοῦ κρέως ἐμπορίαν διατιθέασιν, τὸ δὲ τοῦ λόγου χρῆμα οὕτως "ἐπαγωγὸν" ἦν ὥστε ὁ ὑπουργὸς αὐτὸς γελῶν ἤρξατο τε καὶ ἅμα ἔλεγεν, οὕτω δὲ ἐγέλα ὥστε ἀναγκαῖον ἦν αὐτῷ πολλάκις παύεσθαι ἀγορεύων· οἱ δὲ ἄλλοι βουλευταὶ ἀκούοντες τε καὶ διαλεγόμενοι ἀλλήλοις "ὡς ἐπαγωγὸς" ὁ λόγος εἴη καὶ αὐτοὶ ἐγέλων. τέλος δὲ ὁ ὑπουργός, πλείστην σπουδὴν ποιούμενος, τὸν λόγον τελειοῦν ἐδύνατο.

**Οἱ οἰκολογισταὶ τὸν τοῦ Νιοκάστηλ λιμένα πολιορκοῦσιν**

Πεντήκοντα πολῖται τῆς Αὐστραλίας οἳ λέγουσιν ὅτι ἐπὶ τὴν κλιματικὴν ἀλλαγὴν μάχονται τὸν τοῦ Νιουκάστηλ λιμένα (ἐν τῇ Αὐστραλίᾳ) πεπολιορκήσασιν, οὔ γε πάντα τὸν λιμένα ἀλλὰ μόνον τὸ μέρος ἐξ οὗ ἡ Αὐστραλία ἄνθρακα πρὸς πᾶσαν τὴν οἰκουμένην ἐκπέμπει· κατὰ δὲ τούτους τοὺς οἰκολογιστὰς ἡ μὲν τοῦ ἄνθρακος χρῆσις τὸ περὶ τῆς παγκοσμίας θερμάνσεως πρόβλημα, ἤδη κακὸν ὄν, αὐξάνει, οἱ δὲ τῆς Αὐστραλίας ἄρχοντες ἐν νῷ ἔχουσι τοῦτον τὸν λιμένα μεγαλύνειν ἵνα πλείω ἄνθρακα πολῶσιν, τοῦτο δὲ ἔτι χεῖρον εἴη ἄν.

## Police take airport in Quito / Tony Curtis dies / Kenya will not judge pirates

(02-10-10)

**Οἱ φύλακες τὸν ἐν τῷ Κίτῳ ἀερολιμένα καταλαμβάνουσιν**

Οἱ τοῦ Ἰσημερινοῦ φύλακες ἐπανέστησαν, ὁ γὰρ τῆς χώρας πρόεδρος, ὁ Κορρέα, ἐν τῇ βουλῇ νόμον προσέθηκε καθ' ὃν δέοι τὸν μισθὸν τὸν τῶν φυλάκων μειοῦν· ταῦτα δὲ ἀκούσαντες, οἱ φύλακες ἀλλήλοις διελέγοντο, ἔδοξεν δὲ αὐτοῖς τὴν ἀρχὴν βίᾳ κτᾶσθαι πειρᾶν. τοῦτο ἐν νῷ ἔχοντες, εἰς τήν τε βουλὴν καὶ τὸν ἀερολιμένα ἐξαίφνης εἰσέβαλον· τῆς δὲ περὶ τούτου ἀγγελίας ταχέως κατὰ τὴν χώραν σκεδασθείσης, ὁ μὲν Κορρέα εὐθὺς ἐπείρασε τοῖς ἐπανεστῶσι διαλέγεσαι, οὗτοι δὲ αὐτὸν εἰς λόγους οὐκ ἐδέξαντο, καὶ δὴ καὶ περὶ ἑκατὸν καὶ εἴκοσι στρατιῶται τοῖς φύλαξι συνέστησαν. τοῦ στρατοῦ τῇ δευτέρῃ ἡμέρᾳ τούς τε φύλακας καὶ τοὺς ἐπανεστῶτας στρατιώτας κατασχόντος, ὁ πρόεδρος Κορρέα αὖθις τὴν τῆς χώρας ἀρχὴν κέκτηται.

**Ὁ Τόνι Κέρτις ἀπέθανεν**

Ὁ Ἀμερικανὸς ἠθοποιὸς Τόνι Κέρτις, ὀγδοήκοντα καὶ πέντε ἔτη γεγονώς, ἐν Λὰς Βέγας προχθὲς ἀπέθανεν. τὸ ὄνομα τούτου τοῦ ἠθοποιοῦ Βέρναρδ Σβᾶρζ ἦν (οὐ πολλοὶ τοῦτο ᾔδεσαν), ἀλλὰ αὐτῷ ἔτι νεανίᾳ ὄντι ἔδοξε τὸ ὄνομα μεταβαλεῖν. ὁ Τ. Κ. περὶ ἑκατὸν κινηματογραφικὰ ἔργα ἐποίησεν, ἑξάκις δὲ ἔγημεν. ἓν τῶν ἐνδοξοτάτων κινηματογραφικῶν

ἔργων ἃ ἐποίησε "Οἱ Βίκιγγοί" ἐστιν, ἐν ᾧ ὑποκρίνεται τὸν τοῦ τῆς Ἀγγλίας βασιλέως υἱὸν ὃς πρῶτον μὲν δοῦλος τῶν Βικίγγων γενόμενος, ἔπειτα δὲ ἀποδραμὼν βασιλεὺς τῆς Ἀγγλίας γίγνεται· ἐν ἄλλοις πόλλοις ἔργοις νεανίαν ὑποκρίνεται οὗ πᾶσαι αἱ γυναῖκαι ἐρῶσιν.

**Ἡ Κένυα τοὺς λῃστὰς οὐκέτι δικάσει**

Πάντες ἤδη ἀκηκόαμεν περὶ τῶν Σομαλίων λῃστῶν οἳ πολλάκις ἐγγὺς τῆς Ἀφρικανῆς παραλίας ναῦν βίᾳ καταλαβόντες λύτρα αἰτοῦσιν. τὸ μὲν πρόβλημα ἀποτελεῖν πειρώμεναι, ἔνιαι χῶραι τῆς Ἀφρικῆς συνθήκην ἐποιήσαντο καθ' ἣν ὅστις λῃστὰς λάβῃ ἂν δικάσει τε καὶ καταγνώσεται, νῦν δὲ οἱ τῆς Κενύας ἄρχοντες τὴν συνθήκην ἔλυσαν, λέγουσι γὰρ ὅτι τὸ μὲν λῃστὰς λαβεῖν κινδυνεῖόν ἐστι τῇ χώρᾳ τῶν τιμωριῶν ἕνεκα, πλεῖσται δὲ τῶν λαμβανομενῶν νεῶν ξενικαί εἰσιν.

## Peace Nobel Prize for Liu Xiaobo / Red mud in Hungary

(09-10-10)

**Τὸ Νόβελ Ἆθλον τῆς Εἰρήνης τῷ Λίου Ξιαόβο διδόασιν**

Τῷ συνεδρίῳ ὃ τὰ Νόβελ Ἆθλα τῆς Εἰρήνης κατ' ἐνιαυτὸν δίδωσιν ἔδοξε τούτῳ τῷ ἔτει τὸ ἆθλον τῷ Λίου Ξιαόβο δοῦναι. ὁ Λ. Ξ. κινέζικος ἄνθρωπός ἐστιν ὃς τοῖς τῆς Κίνης ἄρχουσιν ἀνθίσταται, τούτου δὲ ἕνεκα νῦν ἐν τῷ δεσμωτηρίῳ κεῖται, οἱ γὰρ ἄρχοντες αὐτοῦ δώδεκα ἔτη κατέγνωσαν ἅτε ἐπιστολὴν γράψαντος ἐν ᾗ τοὺς ἄρχοντας ᾔτησε τὴν δημοκρατίαν τῇ χώρᾳ εἰσθεῖναι. τοῦτο δὲ διπλωματικὴν ἅμιλλαν ἐνήνοχεν, τοῦ γὰρ ἀγγέλματος ταχέως διὰ πάσης τῆς οἰκουμένης διελθόντος ἡ κινεζίκη ἀρχὴ μάλιστα ὀργισθεῖσα τὴν Νορβηγίαν ἠπείλησεν (τὸ συνέδριον ὃ ταῦτα τὰ ἆθλα κατ' ἐνιαυτὸν δίδωσιν ἐν τῇ Νορβηγίᾳ κεῖται) καὶ εἶπεν ὅτι οὗτος ὁ ἄνθρωπος τρομοκρατιστὴς εἴη καὶ φονεὺς καὶ παράνομος κτλ., ἔπειτα δὲ τὸν ἐν τῷ Πεκίνῳ νορβηγικὸν πρεσβευτὴν καλέσασα τῆς νορβηγικῆς ἀρχῆς βλασφημίαν κατηγόρησε κτλ., ἡ δὲ τῆς Νορβηγίας ἀρχή, ταῦτα ἀκούσασα, ἀπεκρίνατο ὅτι τοῦτο τὸ συνέδριον αὐτόνομον ἀπὸ τῆς ἀρχῆς εἴη.

νῦν δὲ αἱ μὲν πλεῖσται χῶραι τὴν κινηζίκην ἀρχὴν αἰτοῦσι τὸν Λ. Ξ. ἐκ τοῦ δεσμωτηρίου ἐλευθεροῦν, ὁ δὲ Λ. Ξ. αὐτὸς ἴσως οὐκέτι οἶδεν ὅτι τὸ ἆθλον οἷ δεδώκασιν. χθὲς μὲν οἱ φύλακες κατέλαβον ἐν τῷ Πεκίνῳ πολίτας τινὰς οἳ τὸ ἆθλον τὸ τῷ Λ. Ξ. δόμενον ἐνεκωμίαζον, τήμερον δὲ τὴν τοῦ Λ. Ξ. γαμετήν, ποιήτριαν οὖσαν, εἴασαν πρὸς τὸ δεσμωτήριον πορευθῆναι ἵνα τῷ ἀνδρὶ διαλέγοιτο. πολλοὶ μὲν ξένοι δημοσιογράφοι τῇ γυναικὶ διαλέγεσθαι πειρώμενοι ἔξω τῆς οἰκίας ἔμενον, οἱ δὲ φύλακες τὴν ποιήτριαν ἠνάγκασαν τῇ ὀπισθίᾳ θύρᾳ χρῆσθαι καὶ τοὺς δημοσιογράφους ἔλαθον ἐξελθόντες.

**Ἐρυθρὸς πηλὸς ἐν τῇ Οὐγγαρίᾳ**

Ἐν τῇ Οὐγγαρίᾳ ὁ ἐρυθρὸς πηλός, διὰ τοῦ Μαρκᾶλ ποταμοῦ διαρρέων καὶ πάντας τοὺς ἐκεῖ ἰχθῦς ἀποκτείνας, ἤδη εἰς τὴν Δουνάβην ἀφίκετο. τόδε δὴ ἐγένετο· ἐν μὲν ἐργοστασίῳ τινὶ ἀποθήκην εἶχον ἐν ᾗ νοσηρὸν πηλὸν ἔκειτο, οὐδενὸς δὲ αἰσθανομένου αὕτη ἡ ἀποθήκη ἐξ ἀπροσδοκέτου ἐρράγη, ὁ δὲ πηλὸς ἐκ τῆς ἀποθήκης ἰσχυρῶς τε καὶ σφοδρῶς ἐκρέων τὴν περὶ τοῦ ἐργοστασίου χώραν κατέκλυσεν· τέτταρες μὲν ἄνθρωποι ἀπέθανον, πολλοὶ δὲ ἄλλοι ἐβλάβησαν, καὶ δὴ καὶ πολλαὶ οἰκίαι τῷ κατακλυσμῷ διεφθάρησαν. οἱ ἐν τέλει πειρῶσι νῦν τὴν ἐκροὴν παῦσαι.

## 33 miners saved in Chile / Worm in the Kremlin

(17-10-10)

**Τριάκοντα καὶ τρεῖς μεταλλέας ἐν τῇ Χιλῇ σῴζουσιν**

Πάντες τὴν ἱστορίαν ἀκηκόαμεν περὶ τῶν τριάκοντα καὶ τριῶν μεταλλέων οἵ, ὑπονόμου τινὸς ἐξ ἀπροσδοκήτου καταπεσόντος, ἐν μετάλλῳ ἔμενον καὶ οὐχ οἷοί τ᾽ ἦσαν εἰς τὸ ἔξω ἐξελθεῖν, πάντων τῶν ἄλλων ἀγνοούντων πότερον οὗτοι οἱ τριάκοντα καὶ τρεῖς ζῷεν ἢ οὐκ. μετὰ δὲ πέντε ἢ ἓξ ἡμέρας, ἐξὸν τοῖς τριάκοντα καὶ τρισὶν ἄγγελμα πρὸς τὸ ἔξω πέμψαι ἐν ᾧ ἔγραψαν ὅτι πάντες ζῷέν τε καὶ ἐκεῖ ὑπὸ τῆς γῆς μένοιεν, πάντες ἐπύθοντο αὐτοὺς ζῶντας, ταχέως δὲ ἐμηχανῶντο οἱ ἄρχοντες ὅπως ἐξείη αὐτοὺς ἐκεῖθεν σῴζειν, τοῖς δὲ ἐμπείροις, μάλα περὶ τούτου μηχανησαμένοις, ἔδοξε νέον ὀρθὸν ὑπόνομον ὀρύττειν πρὸς τὸ ἄντρον φέροντα οὗ ἐκεῖνοι ἔκειντο· τοῦτο δὲ ποιήσαντες, μικρὰν θήκην κατέπεμψαν εἰς ἣν ἔδει

τοὺς μεταλλέας εἰσβῆναι, οὐ μὲν ἅπαντες, κατὰ δὲ ἕκαστον. ἔπειτα δέ, τὴν θήκην ἤδη μεταλλέα ἔχουσαν ἄνω πρὸς τὸ ἔξω ἕλκοντες, αὐτοὺς καθ' ἕκαστον ἔσωσαν. οἱ μεταλλεῖς εὖ εἶχον καὶ ὑγίαινον, καίπερ ὑπὸ τῆς γῆς δύο μῆνας καταμείναντες, ὅμως δὲ αὐτοὺς πρὸς νοσοκομεῖόν τι ἀπήγαγον.

**Σκώληξ ἐν τῷ Κρέμλιν**

Γελοῖόν τι ἐν τῷ Κρέμλιν γέγονεν· ὅ τε πρόεδρος Μεδβέδεφ καὶ ἄλλοι ἄρχοντες ἐν τῷ Κρέμλιν ἐδείπνουν, ἐξαίφνης δὲ ὁ Διμίτριος Θέλενιν, ὃς τυγχάνει ἔπαρχος τοῦ Τοῦερ ὤν, εἶδεν ἀήθες τι ἐν τῷ λεκανίῳ, τοῦτο δὲ σκώληξ ἦν ἄνω καὶ κάτω διὰ τὸ λεκάνιον προθυμῶς περιπατῶν· ὁ δὲ Θέλενιν, μάλιστα ὀργισθείς τε καὶ ἀναστάς, ἐξέβη, ὅμως δὲ πρὶν ἐκβῆναι φωτογραφίας τινὰς ἐποίησε τοῦ λεκανίου (καὶ τοῦ σκώληκος)· ἔπειτα δὲ ταύτας τὰς φωτογραφίας εἰς τὸ διαδίκτυον εἰσέθηκεν, παρὰ δὲ αὐταῖς λόγους τινὰς ἔγραψεν ἐν οἷς ἐμέμψατο ὅτι τοῦτο ἐν τῷ Κρέμλιν γένοιτο. πάντων τῶν πολιτῶν ταύτας τὰς φωτογραφίας ἰδόντων, ὁ Μεδβέδεφ ταχέως τούτῳ ἐνέστη καὶ εἶπεν ὅτι τοιαῦται πράξεις τὴν τῆς χώρας ἰδέαν βλάπτοιεν.

ὁ μὲν Μεδβέδεφ ἐν νῷ ἔχει νῦν τῇ βουλῇ προσθεῖναι νέον νόμον ὃς τοὺς ἄρχοντας (ἐπάρχους τε καὶ τοιούτους) τοιαῦτα πράττειν κωλύσει, αἱ δὲ φωτογραφίαι ἤδη ἐκ τοῦ διαδικτύου ἀφῃρέθησαν· ὅμως δέ, καίπερ πολλῶν τοῦτο πυθέσθαι πειρωμένων, οὐκ ἔξεστιν εἰδέναι τί τῷ σκώληκι συνέβη.

## Assault to the parliament in Chechnya / Nuclear submarine grounded in Scotland / Strikes in France

(23-10-10)

**Εἰσβολὴ εἰς τὴν τῆς Τσετσενίας βουλήν**

Τέτταρες τρομοκράται καὶ δύω φύλακας καὶ εἷς πολίτης ἀπέθανον, ἀπροσδοκήτης εἰσβολῆς εἰς τὴν τῆς Τσετσενίας βουλὴν γενομένης. ὁ τῆς ἀρχῆς φερέφωνος εἶπεν ὅτι τέτταρες τρομοκράται εἰς τὴν ἐν τῷ Γρόζνι βουλὴν εἰσβάντες πρῶτον μὲν πυροβολήσαιεν, ἔπειτα δὲ

ὁμήρους λάβοιεν, ἄλλους τε καὶ αὐτὸν τὸν τῆς βουλῆς πρόεδρον· τούτου δὲ γενομένου καὶ τοῦ ἀγγέλματος διὰ τῆς πόλεως διαδραμόντος, οἱ στρατιῶται πρῶτον μὲν τὸ οἰκοδόμημα ταχέως ἐπολιόρκησαν, ἔπειτα δὲ εἰς τὴν βουλὴν ἐξαίφνης ἐπεισβάντες τοὺς τέτταρας τρομοκράτας ἔνδον μένοντας ἀπέκτειναν· ὅμως δὲ καὶ δύο φύλακες καὶ εἷς γραμματεὺς ὃς ἐκεῖ εἰργάζετο ἀπέθανον.

**Πυρηνικὸν ὑποβρύχιον ἐποκέλλει ἐγγὺς τῆς Σκοτσεζικῆς παραλίας**

Τὸ πυρηνικὸν τοῦ Βρεταννικοῦ ναυτικοῦ ὑποβρύχιον "Δολερὸν" ὀνόματι ἐπώκειλεν εἰς τὴν παραλίαν ἐγγὺς τῆς Σκύης, κώμης τινὸς ἣ ἐν τῇ Σκοτίᾳ κεῖται. ὁ μὲν τοῦ ὑποβρυχίου οἴαξ εἰς πέτρας τινὰς ἐπώκειλεν, ἐκεῖ δὲ ἔμενεν καὶ οὐκέτι ἐξῆν τῷ ὑποβρυχίῳ ἐκεῖθεν ἐκπλεῖν· ὅμως δὲ τό τε πυρηνικὸν μηχάνημα εὐδαιμόνως οὐκ ἐβλάβη καὶ θαλάσσιον ὕδωρ εἰς τὸ ὑποβρύχιον οὐκ εἰσέβη· ἔπειτα δέ, τῆς πλημυρίδος γενομένης, οὐκ ἐδέησεν ἐξέλκειν, τὸ γὰρ ὑποβρύχιον ἐκ τοῦ αὐτομάτου τῇ πλημυρίδι ἀρθὲν ἐλευθερὸς ἐγένετο ἐκ τῶν πετρῶν.

**Ἀπεργίαι ἐν τῇ Γαλατίᾳ**

Οἱ μὲν Γάλαται ἐργάζονται ἐν τῷ παρόντι ἕως ἂν ἑξήκοντα ἔτη γένωνται, ἔπειτα δὲ τὴν σύνταξιν δέχονται, νῦν δὲ βούλεται ἡ τῆς Γαλατίας ἀρχὴ νόμον τινὰ προστιθέναι καθ᾿ ὃν δεήσει τοὺς πολίτας ἐργάζεσθαι ἕως ἂν ἑξήκοντα καὶ δύο ἔτη γένωνται. τοῦτο δὲ αἰσθόμενα, πάντα μὲν τὰ συνδικάτα ἐπανέστη, οἱ δὲ ἐργασταὶ ἀπείργησαν, κτλ. ὅμως δὲ ἡ ἐν τῷ Παρίσι βουλή, καίπερ τούτων τῶν ἐπαναστάσεων καθ᾿ ἡμέραν γιγνομένων, ὑπὲρ τούτου τοῦ νόμου ἐψηφίσατο, τοῦτο δὲ σημαίνει ὅτι ἔτι ἐνστάσεις πλείονες γενήσονται διὰ πάσης τῆς χώρας. κατὰ δὲ τὸν πρόεδρον Σαρκοζύ, ἐὰν οἱ πολῖται μὴ ἐργάζωνται δύο πλείω ἔτη, οὐκ ἔξεσται τῷ μέλλοντι τὰς συντάξεις τίνειν.

## Unknown shooter sought / Bomb parcels sent to USA / Tarek Aziz sentenced to die

(30-10-10)

**Τὸν ἄγνωστον σκοπευτὴν ζητοῦσιν**

Ἐν τῇ τῆς Σουηδίας πόλει Μάλμο ἄνθρωπός τις ἐπὶ τοὺς πολίτας πυροβολεῖ, οὐδεμιᾶς μὲν αἰτίας ἕνεκα, ἀλόγως δέ· οὗτος ὁ ἄγνωστος ἄνθρωπος ἤδη ἐπὶ ἐννεακαίδεκα πολίτας ἐπυροβόλησεν· πλεῖστοι μὲν τούτων τῶν πολιτῶν ἔτυχον ξένοι ὄντες. αὐτῶν δὲ εἷς μὲν ἀπέθανεν, ὀκτὼ δὲ ἐβλάβησαν, δεκάκις δὲ ὁ σκοπευτὴς ἥμαρτεν. οἱ μὲν φύλακες διὰ τῆς πόλεως αὐτὸν ζητοῦσιν, οὐδεὶς δὲ οἶδεν ὅστις ἐστίν, ὅμως δὲ λέγεται ὅτι αὐτὸς πολίτης ἐκείνης τῆς πόλεως ἐστιν ὃς τήν τε πόλιν καὶ τὰς ὁδοὺς μάλιστα γιγνώσκει καὶ ποδηλάτῳ χρῆται.

ἄγγελμά τι πέπεμπται τοῖς νεανίαις διὰ τῶν κινητῶν τηλεφώνων, τὸ δὲ ἄγγελμα ἀγγέλλει ὅτι "φονεύς τις ἐλεύθερος ἐν τῇ πόλει ἐστίν, μένετε οὖν οἴκοι". ὅμως δὲ ὁ τῶν φυλάκων φερέφωνος εἶπεν ὅτι αὐτοὶ τοῦτο τὸ ἄγγελμα οὐ πέμψαιεν.

**Ἐκρηκτικὰ φορτία πρὸς τὰς ΗΑΠ πέμπουσιν**

Προχθὲς ἐκρηκτικὸν φορτίον ηὑρέθη ἐν ἀεροσκάφει ὃ ἔμελλεν ἐκ τοῦ Λονδίνου πρὸς τὰς ΗΑΠ πετήσεσθαι, ἔπειτα δὲ ἄλλοθι ἄλλο ἐκρηκτικὸν φορτίον ηὑρέθη ἐν ἄλλῳ τι ἀεροσκάφει καὶ πρὸς τὰς ΗΑΠ ἐκ τοῦ Δουβαῖ πετήσεσθαι μέλλοντι· πρὶν δὲ εἰς τὸ Λονδίνον καὶ τὸ Δουβαῖ ἀφικέσθαι, τὰ δύο φορτία ἐκ τῆς Ὑεμένης ἐπέμφθη· ἡ δὴ τρομοκρατικὴ ἑταιρεία῞Αλ Καῖδα ἐν ταύτῃ τῇ χώρᾳ τὸ μέγιστον ἑαυτῆς στρατόπεδον ἔχει, διὰ δὲ τοῦτο νομίζουσιν οἱ φύλακες ταύτην τὴν ἑταιρείαν ταῦτα τὰ φορτία πέμψαι. τὰ δύο φορτία πρὸς συναγωγήν τινα ἐν τῷ Σικάγῳ κειμένην ἐπέμφθη.

**Τοῦ Ταρὲκ Ἀθῖθ τὸν θάνατον καταγιγνώσκουσιν**

Τοῦ Ταρὲκ Ἀθῖθ, ὃς τῶν ἐξωτερικῶν ὑπουργὸς ἦν τῆς τοῦ Σαδδᾶμ ἀρχῆς ἐν τῷ Ἰρᾶκ, τὸν θάνατον κατέγνωσαν. ὁ Τ. Α. ἐνδοξότατος ἐγένετο ἐν τῷ πολέμῳ "τῷ τοῦ Κόλπου Πολέμῳ" καλουμένῳ, οὐ γὰρ μόνον ὁ τοῦ Σαδδᾶμ φερέφωνος ἦν ἀλλὰ καὶ ὁ μόνος χριστιανὸς ἐκείνης τῆς ἀρχῆς, πάντες γὰρ οἱ ἄλλοι ὑπουργοὶ μουσουλμάνοι ἦσαν. ἔπειτα δέ, τῶν Ἀμερικανῶν εἰς τὸ Ἰρᾶκ εἰσβαλόντων, καὶ τότε τὸ ἐξώτερον τῆς ἀρχῆς πρόσωπον ἐγένετο, τοῦ δὲ πολέμου τελευτήσαντος κατελήφθη ἅμα τοῖς ἄλλοις ἄρχουσιν ἵνα δικασθείη.

## China arrests Hai WeiWei / 68 die in air crash in Cuba / Georgia arrests 15 supposed spies / Pope arrives in Spain

(06-11-10)

**Ἡ Σίνη τὸν Αἶ Βειβεῖ καταλαμβάνει**

Ὁ ἔνδοξος σινικὸς ἀρχιτέκτων Αἶ Βειβεῖ, ὃς τὸ στάδιον ἐτεκτήνατο ἐν ᾧ τὰ ἐν τῷ Πεκίνῳ Ὀλύμπια διεξήχθη, χθὲς κατελήφθη ἅτε βουλόμενος ἑορτὴν ποιεῖσθαι ἵνα τοῖς ἄρχουσιν ἐνισταῖτο· καὶ δὴ καὶ οὐ τὸ πρῶτον νῦν τὸν Α. Β. καταλαμβάνουσιν οἱ τῆς Σίνης ἄρχοντες, ἐξ οὗ γὰρ ἐκείνην τὴν ἐπιστολὴν ὑπέγραφεν ὑπὸ τοῦ Λίου Σιαόβο γραφεῖσαν πολλάκις κατελήφθη (ἐν ἐκείνῃ τῇ ἐπιστολῇ ὁ Λίου Σιαόβο, ᾧ νεωστὶ τὸ τοῦ Νοβέλου τῆς Εἰρήνης Ἆθλον ἔδοσαν, πολιτικάς τε ἐπανορθώσεις καὶ δημοκρατίαν ἀπῄτησεν). ὅμως δὲ λέγει ἡ σινικὴ ἀρχὴ ὅτι τοῦτο τὸ ἄγγελμα οὐ παντελῶς ἀκριβές ἐστι καὶ ὅτι τὸν Α. Β. οὐ μὲν κατέλαβον, μόνον δὲ ἐκ τῆς ἑαυτοῦ οἰκίας ἐξελθεῖν κωλύουσιν (τὴν δὲ αἰτίαν οὐκ εἶπον).

**Ἑξήκοντα καὶ ὀκτὼ ἀποθνῄσκουσιν ἀεροσκάφους ἐν τῇ Κούβῃ καταπεσόντος**

Ἀεροσκάφος τι ἐκ τοῦ Σαντιάγο δε Κοῦβα πρὸς τὴν Ἁβάναν πετόμενον κατέπεσεν, ἅπαντες δὲ οἱ ἐπιβάται ἀπέθανον, οὐδεὶς γὰρ περιεγένετο· ἐν τῷ ἀεροσκάφει τετταράκοντα μὲν κουβάνοι πολῖται ἐνῆσαν, εἴκοσι δὲ καὶ ὀκτὼ ξένοι· τὴν δὲ τοῦ δυστυχήματος αἰτίαν οὐδεὶς ἔτι γνωρίζει.

**Ἡ Γεωργία πεντεκαίδεκα ἀνθρώπους καταλαμβάνει ὡς κατασκόπους**

Οἱ τῆς Γεωργίας φύλακες πεντεκαίδεκα ἀνθρώπους κατειλήφασιν ὡς ὑπὲρ τῆς Ῥωσσίας κατασκόπους ὄντας, κατὰ δὲ τὴν τῆς Ῥωσσίας ἀρχὴν ψεύδονται οὗτοι οἱ φύλακες. ὅμως δὲ τὸ χρῆμα ἀσαφές ἐστιν, ἐκ γὰρ τῶν τριῶν καὶ δεκα ἀνθρώπων ἔτι ἐν τῷ δεσμωτηρίῳ μενόντων (τοὺς δύο ἄλλους ἤδη ἔλυσαν) ἐννέα μὲν πολῖται τῆς Γεωργίας, τέτταρες δὲ πολῖται τῆς Ῥωσσίας εἰσίν. ἡ ἅμιλλα ἡ τῆς τε Γεωργίας καὶ τῆς Ῥωσσίας ἤδη τὸ τρίτον ἔτος ἐγένετο, ἡ γὰρ Ῥωσσία εἰς τὴν Νότιαν Ὀσετίαν εἰσέβαλεν (ὀκτακόσιοι καὶ πεντήκοντα ἄνθρωποι

ἀπέθανον τότε)· μετὰ δὲ τοῦτον τὸν πόλεμον πέντε ἡμέρας καταμένοντα, ἡ Ῥωσσία ἐδέξατο τὴν Νότιαν Ὀσετίαν αὐτόνομον εἶναι.

**Ὁ Πάπας εἰς τὴν Ἱσπανίαν ἥκει**

Ὁ Πάπας, ὁ τῶν καθολικῶν ἀρχιερεύς, εἰς τὴν Ἱσπανίαν ἀφίκετο καὶ νῦν ἐν τῇ πόλει Σαντιάγο δε Κομποστέλα μένει λειτουργίαν ἐκεῖ ποιησάμενος· αὔριον δὲ πρὸς τὴν Βαρκελόναν πορεύσεται, ἐκεῖ γὰρ τὸν ἔνδοξον ναὸν τῆς Ἱερᾶς Οἰκογενείας καλούμενον καθιερώσει.

## Battle in El Aaiun / Suu Kyi has been freed

(13-11-10)

**Μάχη ἐν τῷ Ἐλ Αἰοῦν**

Μάχη ἐγένετο ἐν στρατοπέδῳ τινὶ ἐγγὺς τοῦ Ἐλ Αἰοῦν· ἐν μὲν τούτῳ τῷ στρατοπέδῳ πεντακισχίλιοι καὶ μύριοι ἄνθρωποι ἐκ τῆς Σαχάρας ἐρήμου ἀφικόμενοι καὶ ἐκεῖ ἐπὶ χρόνον μένοντες τῷ τοῦ Μαρόκου βασιλεῖ ἐνίσταντο, αὐτόνομοι γὰρ γενέσθαι πειρῶνται, ἐξ ἀέλπτου δὲ οἱ στρατιῶται ὑπὸ τοῦ βασιλέως πεμφθέντες περὶ τὸ στρατόπεδον σκοπιωροὺς περιστήσαντες τοὺς ἔνδον ὄντας ἐξελθεῖν οὐκ εἴασαν καίπερ πειρωμένους· τέλος δὲ νεανίας τέτταρα καὶ δέκα ἔτη γεγονὼς ὑπὸ τῶν φυλάκων ἀπέθανεν ἅτε ἐξιέναι πειρώμενος. τί ἐγένετο τότε; ὁ τοῦ Μαρόκου βασιλεὺς διὰ τῆς τηλεοράσεως πᾶσιν ἤγγειλεν ὅτι τὸ μὲν Μαρόκο εἰς ἀεὶ τὴν Σαχάρα ἔρημον κατασχήσοι, αὕτη δὲ ἡ χώρα οὐδέποτε αὐτόνομος γενήσοιτο· ταῦτα δὲ ἀκούσαντές τε καὶ πρόκλησιν εἶναι νομίσαντες, πολλοὶ Σαχαραύεις νεανίαι τὰς τοῦ Ἐλ Αἰοῦν ἀγυιᾶς καταλαβόντες φράγματά τε κατέστησαν καὶ πυρὰς ἧψαν. τούτων οὕτως ἐχόντων, οἱ μὲν στρατιῶται εἰς τὸ στρατόπεδον εἰσῆλθον, μάχη δὲ δι᾽ ὀλίγου ἐγένετο· τὸν τῶν τενθηκότων ἀριθμὸν οὐδεὶς ἀκριβῶς γνωρίζει, λέγεται δὲ ὅτι ἴσως πεντηκαίδεκα ἢ εἴκοσιν. ὅμως δὲ ἡ μάχη οὐ μόνον ἐν τῷ στρατοπέδῳ ἐγένετο ἀλλὰ καὶ διὰ πάσης τῆς πόλεως, κατὰ μὲν γὰρ τὸν τῶν Σαχαραυέων φερέφωνον καὶ οἱ Μαροκίνοι ἄποικοι τοῖς Σαχαραύεσιν ἐπέθεντο, κατὰ δὲ τοὺς στρατιῶτας οἱ Σαχαραύεις βίᾳ χρώμενοι αἴτιοι γεγόνασιν ἅτε πάντα ἄρξαντες.

**Τὴν Σοῦ Κὶ ἐλευθεροῦσιν**

Ἡ Σοῦ Κί, ἡ γυνὴ ἤδη ἑξήκοντα καὶ ἓξ ἔτη γεγονυῖα ἣ ὑπὲρ τῆς δημοκρατίας τῷ τοῦ Μιανμὰρ ἄρχοντι (τῷ στρατηγῷ Θάιν Σάιν) ἀνθίσταται, ἐν τῇ ἑαυτῆς οἰκίᾳ ὡς ἐν δεσμωτηρίῳ τινὶ διεβίου, ὁ γὰρ τῆς χώρας ἄρχων αὐτὴν ἠνάγκαζέν τε ἐκεῖ μένειν καὶ ἐκώλυσεν ἄλλοις διαλέγεσθαι. νεωστὶ μὲν ἀρχαιρεσίας ἐν τῷ Μιανμὰρ ἐποίησεν ὁ Θάιν Σάιν, πολλαὶ γὰρ χῶραι ἀρχαιρεσίας ἤδη πάλαι ἀπῄτουν, ὅμως δὲ λέγουσιν οἱ πολῖται αὐτοὶ ὅτι οὐκ ἐξῆν αὐτοῖς ψηφίζεσθαι ᾧτινι βούλοιντο, οἱ γὰρ στρατιῶται πρὸς τοῖς κάδοις ἱστάμενοι ἐκώλυσαν τοὺς πειρωμένους ἄλλῳ ἢ τῷ προέδρῳ Θάιν Σάιν ψηφίζεσθαι· αὐτῷ δὲ ἐν ταῖς ἀρχαιρεσίαις νικήσαντι ἔδοξε νῦν τὴν Σοῦ Κὶ ἐλευθεροῦν. ὁ πρόεδρος Ὀβάμα, τοῦ ἀγγέλματος αἰσθόμενος, αὐτὴν ἐμακάρισε κατὰ τὴν ἄφεσιν.

## 6 countries will send nobody to Peace Nobel Prize ceremony / NATO summit in Lisbon / terrorists aim to Germany

(20-11-10)

**Ἕξ χῶραι οὐδένα πέμψουσι πρὸς τὴν τοῦ Νοβέλου τῆς Εἰρήνης Ἄθλου τελετήν**

Κατ᾽ ἐνιαυτὸν ἡ τῆς Νορβεγίας ἀρχή, μέλλουσα τὸ τοῦ Νοβέλου Ἆθλον τῷ αἱρηθέντι ἐν καλλίστῃ τελετῇ δώσειν, παρακλήσεις πέμπει πρὸς τοὺς ἄλλους ἄρχοντας κατὰ πᾶσαν τὴν οἰκουμένην ἵνα πρὸς τὸ Ὄσλο ἥκωσιν καὶ τὴν τελετὴν ἰδῶσιν. τῶν δὲ παρακλησέων τούτῳ τῷ ἔτει πεμφθεισῶν, οἱ ἓξ χωρῶν ἄρχοντες ἀπεκρίναντο ὅτι οὐδένα πέμψοιεν. αὗται δὲ αἱ χῶραι αἵδε εἰσίν· τὸ Μαρόκον καὶ τὸ Καζακστὰν καὶ τὸ Ἰρᾶκ καὶ ἡ Ῥωσσία καὶ ἡ Κοῦβα καὶ ἡ Σίνα. κατὰ δὲ τὸν Λούνδεστανδ, ὁ φερέφωνος ὁ τῶν τὴν τελετὴν παρασκευαζόντων, αὗται αἱ χῶραι οὐδεμίαν πρόφασιν εἰρήκασι περὶ τῆς ἀπουσίας, διαβεβαιοῦται δὲ ὅτι οἱ Κινεζικοὶ ἄρχοντες, ὀργισθέντες διὰ τόδε, τίνι τὸ ἆθλον ἔδοσαν, πειρῶνται ὡς πλείστους τῶν ἄλλων ἀρχόντων πείθειν μὴ ἐν τῇ τελετῇ παρεῖναι.

**Ὁ ΝΑΤΟ σύνοδον ποιεῖται ἐν τῇ Λισαβόνῃ**

Ὁ NATO (Ὀργανισμὸς Συνθήκης Βορείου Ἀτλαντικοῦ) σύνοδον ποιεῖται ἐν τῇ Λισαβόνῃ· πλείονες δὲ τετταράκοντα ἄρχοντες ἐκεῖ διαλέξονται περὶ ἄλλων τε πολλῶν καὶ τῆς ἐκ τοῦ Ἀφγανιστᾶν ἀναχωρήσεως, πάντες γὰρ τὴν κοινὴν γνώμην ἔχουσιν ὅτι δεῖ ἤδη ταύτην τὴν χώραν ἑαυτῆς ἄρχειν ἐᾶν· ἐν δὲ νῷ ἔχουσι καὶ περὶ τῆς Ῥωσσίας διαλέγεσθαι, αἱ γὰρ ΗΑΠ ἀσπίδα ἐργάζεσθαι βούλονται ᾗ τὴν Εὐρώπην ἀπὸ πυραυλῶν φυλάξει καὶ τῇ Ῥωσσίᾳ προτιθέναι περὶ ταύτης τῆς βουλῆς συμπράττειν. ὁ Ῥάσμουσσεν, ὁ τοῦ NATO πρόεδρος, τοῖς ἄλλοις ἄρχουσι χαίρειν εἰπὼν ἐν τῇ συνόδῳ τοὺς πρώτους λόγους ἐποιήσατο.

**Οἱ τρομοκράται τῆς Γερμανίας στοχάζονται**

Ὁ Μ. Σεέγηρ, ὁ ἄρχων των Γερμανῶν φυλάκων, πάλιν εἶπε χθὲς ὅτι ὁ μὲν κίνδυνος τρομοκρατικῆς προσβολῆς μέγιστος εἴη, διὰ δὲ τοῦτο πλειονά τε καὶ βελτίονα ὅπλα τοὺς φύλακας ἔχειν ἀξιοίη· κατὰ δὲ τὸν Σεέγηρ, πάντα τὰ ἴχνη ἃ νεωστὶ οἱ φύλακες ηὗρον τὸ αὐτὸ σημαίνει, ὅτι τὸ῀Αλ Καΐδα τῇ Γερμανικῇ βουλῇ (Ῥαΐχσταγ καλουμένῃ) προσβαλεῖν ἐν νῷ ἔχει, βούλεται δέ, ἐὰν τρομοκρατική τις προσβολὴ γίγνηται, τοὺς φύλακας αὐτοὺς μὴ τὴν ἰδίαν δύναμιν ἀναμένειν ἀλλὰ εὐθύς τε καὶ ορθῶς τοὺς τρομοκράτας ἀμύνειν.

## Battle in Rio de Janeiro / North Korea attacks South Korea / Duma acknowledges Stalin's crimes in Katyn

(27-11-10)

**Μάχη ἐν τῷ Ῥίο δε Ἰανεῖρο**

Ἐν τῷ Ῥίο δε Ἰανεῖρο, τῇ τῆς Βρασιλίας προτευούσῃ, δῆμοί εἰσιν εἰς οὓς οἱ φύλακες οὐκ εἰσβαίνουσιν (ἴσως μὲν γὰρ εἰσέλθοις ἄν, ἴσως δὲ οὐκ ἐξέλθοις ἂν)· τούτους μὲν τοὺς δήμους "φαβέλας" ὀνομάζουσιν, ἐκεῖ δὲ πολλοὶ οἳ ναρκωτικὰ καπηλεύουσιν οἰκοῦσι καὶ τοὺς δήμους κατέχουσιν· νῦν δὲ ὁ τῆς Βρασιλίας πρόεδρος, ὁ Λοῦλα δα Σῖλβα, βουλόμενος ἅπαντα ταῦτα κωλύειν καὶ ὡς πλείστους τῶν καπήλων εἰς τὸ δεσμωτήριον ἀπαγαγεῖν, φύλακας εἰς τούτους τοὺς δήμους εἰσέπεμψεν· ὅμως δέ, τῶν φυλάκων εἰς τὰς φαβέλας εἰσελθόντων, εὐθὺς μάχαι πανταχοῦ ἐγένοντο, οἱ γὰρ κάπηλοι μισθοφόροις ὅπλα ἔχουσι χρῶνται, ἐδέησε δὲ οὐ μόνον φύλακας πλείους πέμψαι ἀλλὰ καὶ στρατιώτας τε καὶ δύο

ἑλικόπτερα καὶ δέκα τεθωρακισμένα ἅρματα. ἐν τῇ μάχῃ, οὐκέτι τελευτησάσῃ, ἤδη τριάκοντα ἄνθρωποι ἀπέθανον.

**Ἡ Βορεία Κορέα τῇ Νοτίᾳ Κορέᾳ ἐπιτίθεται**

Ἐν τῇ Κιτρίνῃ Θαλάττῃ ἁμιλλῶνται αἱ δύο Κορέαι, νεωστὶ γὰρ ἡ μὲν Βορεία Κορέα πύραυλα ἐπὶ τὴν νῆσον Ἰεονπυέογγ ἐφῆκεν, ἣ ἐν τῇ Νοτίᾳ Κορέᾳ κεῖται, τέτταρες δὲ ἄνθρωποι ἀπέθανον· τούτου δὲ γενομένου, ἔδοξε μὲν τῇ τῆς Νοτίας Κορέας ἀρχῇ καὶ τῇ Ἀμερικανῇ ἀρχῇ στρατιωτῶν ἀσκήσεις ἐγγὺς τῆς Βορείας Κορέας συμπράττειν, οἱ δὲ τῆς Β. Κορέας ἄρχοντες, ταύτας τὰς ἀσκήσεις πρόκλησιν εἶναι νομίσαντες, τῇ Ν. Κορέᾳ τὸν πόλεμον ἠπειλήκασιν ἐὰν στρατιώτης τις ἐκ τῆς Ν. Κορέας εἰς τὴν Β. Κορέαν εἰσέλθῃ· καὶ δὴ καὶ τοῦ Μαρτίου ὑποβρύχιόν τι τῆς Β. Κορέας ναῦν τῆς Ν. Κορέας κατέδυσεν, τότε δὲ τετταράκοντα καὶ ἓξ ἀπέθανον.

**Ἡ Δοῦμα περὶ τῶν ἐν τῷ Κάτυν ὑπὸ τοῦ Στάλιν φόνων ὁμολογεῖ**

Ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ δισμύριοι Πολωνικοὶ στρατιῶται, καίπερ αἰχμάλωτοι ὄντες, ἀπέθανον ἐν τῷ Κάτυν, ἐν ὕλῃ τινὶ ἐγγὺς τῆς Βαρσοβίας κειμένῃ, τοῦ Στάλιν κελεύσαντος. τοῦ πολέμου ἤδη τελευτήσαντος, ὁ Στάλιν εἶπεν ὅτι οἱ Γερμάνοι τοὺς Πολωνικοὺς αἰχμαλώτους ἀποκτείναιεν, καίπερ ἤδη τότε πάντων ταῦτα οὐκ ἀληθῆ ὄντα εἰδότων. προχθὲς δὲ τὸ Δοῦμα (ἡ τῆς Ῥωσσίας βουλὴ) ὡμολογήσατο ὅτι ὁ Στάλιν τοῦτο κελεύσειε (πάλαι γὰρ γράμματα ηὗρον ἐν οἷς ὁ Βέρια τῷ Στάλιν συνεβούλευσε τοὺς δισμυρίους αἰχμαλώτους ἀποκτεῖναι, ἐν δὲ τούτοις τοῖς γράμμασιν ἔξεστι τὴν ὑπογραφὴν τὴν τοῦ Στάλιν τὸν φόνον ποιῆσαι κελεύοντοῢ.

## Chaos at Spanish airports / Obama visits Afghanistan

(04-12-10)

**Χάος ἐν τοῖς Ἰσπανικοῖς ἀερολιμέσιν**

Χθὲς οἱ ἐπιμεληταὶ τῆς ἀερίου ναυτιλίας ἐν τῇ Ἱσπανίᾳ ἐκ τοῦ ἀπροσδοκήτου ἀπείργασαν, μυρίοι δὲ ἐπιβάται πορεύσεσθαι μέλλοντες, οὐκ ἐξὸν πέτεσθαι, ἐπὶ τῆς γῆς ἐλείφθησαν. οἱ ἐπιμελήται τοῦτο χθὲς ποιεῖν ἀκριβῶς τε καὶ κακοήθως ἐλογίσαντο, ἐργασίας γὰρ τῇ τε Δευτέρᾳ καὶ τῇ Τετάρτῃ ἐν τῇ Ἱσπανίᾳ οὐκ οὔσης πολλοὶ πολῖται ἐν νῷ εἶχον καὶ τὴν Τρίτην μὴ ἐργάζεσθαι καὶ πορεύσεσθαι ἔμελλον, πάντες δὲ οἱ ἀερολιμένες πλήρεις τότε ἦσαν, πολλοὶ γὰρ πολῖται ταύτας τὰς πέντε ἡμέρας ἄλλοθι διατρίβειν ἐβούλοντο· οὐδεμιᾶς δὲ ἀγγελίας ἀγγελθείσης πάντες οἱ ἐπιμεληταὶ τῆς ἀερίου ναυτιλίας περὶ δείλην ἐξαίφνης εἶπον μὲν ὅτι νοσοῖεν, οἴκαδε δὲ ᾤχοντο, οὐ γὰρ ὁμολογεῖν ἐβούλοντο ὅτι ἀληθῶς ἀπεργοῖεν (εἰ γὰρ ἀπεργοῦσιν, τὸν μισθὸν ἐκείνῃ τῇ ἡμέρᾳ οὐ δέχονται). ἐκ δὲ τούτου οὐκ ἐξῆν τοῖς ἀεροσκάφεσιν ἀπογειώνεσθαι, οὐδεὶς γὰρ ἐν τοῖς πύργοις ἦν ὃς τὰς τῶν ἀεροσκάφων πορείας ἐλαύνειν ἔχοι, ταῦτα δὲ οὐ μόνον τοὺς τῆς Ἱσπανίας πολῖτας λυπεῖ ἀλλὰ καὶ τοὺς ἄλλων χωρῶν πολῖτας οἳ εἴτε εἰς τὴν Ἱσπανίαν πετήσεσθαι ἔμελλον εἴτε ἡμέρας τινὰς ἐκεῖ διατρίψαντες πρὸς τὰς ἑαυτῶν χώρας ἐπανελθεῖν ἐπείρωντο. τούτων οὕτως ἐχόντων, ὁ τῆς χώρας πρόεδρος στρατιώτας πρὸς τοὺς ἀερολιμένας ἔπεμψεν ὡς τοὺς πύργους κατασχήσοντας. ἀλλὰ διὰ τί τοῦτο γίγνεται; ἥδε ἐστὶ ἡ αἰτία· ἐν τῇ Ἱσπανίᾳ οἱ ἐπιμεληταὶ μέγιστον μὲν μισθὸν δέχονται, ὀλίγας δὲ ἡμέρας ἐργάζονται, καὶ δὴ καὶ ἔξεστιν αὐτοῖς, ἐπεὶ πρῶτον πεντήκοντα καὶ δύο ἔτη γίγνονται, τῆς τε ἐργασίας παύεσθαι καὶ πάντα τὸν μισθὸν εἰσαεὶ δέχεσθαι· ἡ μὲν ἀρχὴ τούτῳ τέλος ἐπιθεῖναι πειρᾶται, οἱ δὲ ἐπιμελήται τὴν πεῖραν βίᾳ χρώμενοι κωλύειν βούλονται.

**Ὁ Ὀβάμα εἰς τὸ Ἀφγανιστᾶν ἀφικνεῖται**

Ὁ τῶν ΗΑΠ πρόεδρος Βᾶρακ Ὀβάμα πάλιν εἰς τὸ Ἀφγανιστᾶν χθὲς ἀφίκετο (ἤδη τὸ πέρυσιν ἐκεῖσε ἐπορεύθη) ἵνα τοὺς στρατιώτας ἐποτρύνοι ἐπὶ τοὺς ταλιβάνας μαχομένους. καίπερ εἰπὼν ὅτι δέοι τὸν ἀριθμὸν Ἀμερικανῶν στρατιωτῶν ἐκεῖ ὄντων μειοῦν, ὁ Ὀβάμα νεωστὶ πλείονας στρατιώτας ἐκεῖσε προσέπεμψεν, ὁ γὰρ ἐπὶ τοὺς ταλιβάνας πόλεμος οὐ τελευτᾷ. ὁ πρόεδρος πολλὰ καὶ καλὰ εἶπεν ἐν τῷ στρατοπέδῳ Βᾶγραμ περὶ τοὺς ἐκεῖ ἀποθανόντων, χάριν δὲ ἔσχε τοῖς Ἀμερικανοῖς στρατιώταις καὶ τοῖς συμμάχοις ὅτι νῦν οἱ ταλιβάνοι οὐ τοσαῦτα μέρη τῆς χώρας κατέχοιεν ἢ τὸ πρότερον. ἔπειτα δὲ τῷ στρατηγῷ Δάβιδ Πετρεῦς διελέξατο, ὃς νῦν τοῦ πολέμου ἐπιμελεῖται.

## Area around Paris under freeze / Terrorist attack in Stockholm / Empty chair gets Peace Nobel Prize

(12-12-10)

**Ὁ πάγος τὴν περὶ τοῦ Παρίσι χώραν κατέχει**

Δύο ἡμέρας αἱ ὁδοὶ αἳ πρὸς τὸ Παρίσι φέρουσι τῷ πάγῳ κατείχοντο, ἡ μὲν γὰρ χιὼν ὃς τὰς ὁδοὺς ἐκάλυπτε πάγος ἐγένετο, ὁ δὲ πάγος τὰ αὐτοκίνητα ἐκώλυεν τῶν ὁδῶν ὀλισθηρῶν γενομένων. ὁ μὲν τῶν φυλάκων ἄρχων εἶπεν ὅτι δέοι τοὺς πολίτας τοῖς αὐτοκινήτοις μὴ χρῆσθαι εἰ μὴ παντελῶς ἀναγκαῖον εἴη, πολλοὶ δὲ πολῖται ἐν τοῖς ἀερολιμέσιν ἐκαθεύδησαν (ἐν τῷ Ὀρλὺ καὶ τῷ Σὰρλ δε Γόλ), οὐ γὰρ ἐξῆν τοῖς ἀεροσκάφεσιν ἀπογειώνεσθαι. πολλὰ δὲ διδασκαλεῖα ἐκλείσθη, οὐκ ἐξὸν τοῖς γονεῦσι τὰ παιδία ἐκεῖσε κομίζειν, καὶ δὴ καὶ τοῖς περιηγηταῖς ἀνὰ τὸν τοῦ Αἴφελ πύργον ἀναβαίνειν ἀπεῖπον οἱ φύλακες, οὐ γὰρ δυνατὸν ἦν τῷ ἀνελκυστῆρι χρῆσθαι. ὅμως δέ, τῇ τρίτῃ ἡμέρᾳ, τοῦ θέρμους αὐξανομένου καὶ τοῦ πάγου ταχέως τακέντος, τοῖς πολίταις ἐξῆν πάλιν τοῖς αὐτοκινήτοις χρῆσθαι καὶ πορεύεσθαι ὅποι βούλοιντο.

**Τρομοκρατικὴ προσβολὴ ἐν τῇ Στοκχόλμῃ**

Δύο βόμβαι ἐξερράγησαν χθὲς ἐν τῇ Στοκχόλμῃ· αἱ μὲν βόμβαι ἐν δυοῖν αὐτοκινήτοις ἦσαν, ὁμοῦ δὲ ἐξερράγησαν. εἷς ἄνθρωπος ἀπέθανεν, λέγεται ὅτι ὁ τρομοκράτης αὐτός, ἄλλοι δὲ τρεῖς ἐβλάβησαν. καίπερ τούτου ἐν ἐμπορικῷ δήμῳ τῆς πόλεως ἀγορᾶς πληθούσης γενομένου, οὐδεὶς ἄλλος ἐβλάβη. εἶπον δὲ ἔνιοι οἳ ἐκεῖ ἔτυχον ὄντες ὅτι ὁ τρομοκράτης, πρὸς ἑνὶ τῶν αὐτοκινήτων στάς, λόγους τινὰς τῇ Ἀραβικῇ γλώττῃ χρώμενος βόησειε πρὶν τὰς βόμβας ἐκρήγνυσθαι. τὴν μὲν αἰτίαν οἱ φύλακες οὐκέτι ἴσασιν, ἀλλὰ τῇ προτεραίᾳ ἠλεκτρονικὴν ἐπιστολὴν ἐδέξαντο οἱ τῶν φυλάκων ἄρχοντες ἐν ᾗ ἀπειλήν τις (ἴσως ὁ τρομοκράτης αὐτός) ἐποίει ἅτε τῆς Σουηδίας στρατιώτας εἰς τὸ Ἀφγανιστᾶν ἀποπεμψάσης, ἐν δὲ ταύτῃ τῇ ἠλεκτρονικῇ ἐπιστολῇ καὶ μνήμην ἐποιήσατο ὁ τρομοκράτης τῶν γραφῶν τοῦ προφήτου Μωάμεθ.

**Κενὴ καθέδρα τὸ Νόβελ τῆς Εἰρήνης Ἆθλον δέχεται**

Ἐν τῷ Ὄσλο, οὗ τὸ Νόβελ τῆς Εἰρήνης Ἆθλον κατ᾽ ἐνιαυτὸν διδόασιν, προχθές, δέον τῷ Λίου Ξιαόβο τὸ ἆθλον δοῦναι, οἱ τῆς ἑορτῆς ἄρχοντες τὸ ἆθλον ἐπὶ κενὴν καθέδραν ἐπέθεσαν ἐπὶ ἣν ἔδει τὸν Λίου καθῆσθαι. πάντες δὴ τὴν αἰτίαν ἴσμεν· οἱ τῆς Κίνας ἄρχοντες οὐκ εἴασαν οὐ μόνον τὸν Λίου ἀλλὰ καὶ οἰκεῖον οὐδένα ἐκ τῆς χώρας πορεύεσθαι ἵνα τὸ ἆθλον δέξαιτο.

## Cat called to judge in trial / North Korea frees ship from pirates / Blair warns about Iran

(22-01-11)

### Αἴλουρον ὡς δικάσουσαν ἐπικαλοῦσιν

Ἐν τῷ Βόστον οἱ ἄρχοντες αἴλουρόν τινα ἐπεκάλεσαν ἵνα ἐν δικαστηρίῳ δίκην δικάσῃ· ἀλλὰ διὰ τί αἴλουρον ἐπικαλοῦσιν; τί ἐγένετο; τόδε ἐγένετο· ἡ Ἄννα Ἐσπόσιτο, ἣ ἐν τῷ Βόστον οἰκεῖ, ταύτην τὴν οὔλουρον πάλαι πριαμένη αὐτὴν εἰς τὸ δημαρχεῖον ἤνεγκεν ἵνα ἐν τῇ τῶν ζῴων ἀπογραφῇ ἐγγράψειεν· ὅμως δὲ ὁ ἐκεῖ γραμματεὺς ἥμαρτε καὶ τὴν οὔλορον ἐν τῇ τῶν πολιτῶν ἀπογραφῇ ἐνέγραψεν· νῦν δὲ ὁ τοῦ δημαρχείου ὑπολογιστής, πολίτας τινὰς κατὰ τύχην ἑλόμενος ἵνα ἐν δικαστηρίῳ δίκην δικάσωσιν, τὴν αἴλουρον ᾕρηκεν, ἣ οὐδὲν ἄλλο εἰπεῖν οἵα τ᾽ ἔσται ἢ "μιάου" τοῖς αὐτὴν ἐρωτῶσιν.

### Τὸ τῆς Νοτίας Κορέας ναυτικὸν ναῦν ἐκ τῶν λῃστῶν ἐλευθεροῖ

Τὸ τῆς Νοτίας Κορέας ναυτικὸν εἴκοσι καὶ ἕνα ναύτας ἠλευθέρωσεν· οὗτοι οἱ ναῦται ἐν τῇ νηὶ ἐνῆσαν ἣ ὑπὸ λῃστῶν ἐκ τῆς Σομαλίας ἀφικομένων βίᾳ κατελήφθη· τῶν μὲν λῃστῶν ὀκτὼ μὲν ἀπέθανον, δώδεκα δὲ ὑπὸ τῶν στρατιωτῶν κατελήφθησαν, ὁ δὲ τῆς νέως ναύκληρος τὴν γαστέρα ἐτρώθη (ὅμως δὲ ζήσει), τρεῖς δὲ στρατιῶται ὀλίγον ἐτρώθησαν. νεωστὶ πολλαὶ νῆες ὑπὸ λῃστῶν ἐν τούτῳ τῷ κόλπῳ καταλελημμέναι εἰσίν.

### Ὁ Βλαῖρ περὶ τοῦ Ἰρᾶν παραινεῖ

Ὁ Τόνι Βλαῖρ, πρότερος πρωθυπουργὸς τῆς Μεγάλης Βρετανίας, εἶπεν ὅτι δέοι τὸν δυτικὸν κόσμον παρασκευάζεσθαι πρὸς ἐπὶ τὸ Ἰρᾶν πόλεμον, ἐὰν ἀναγκαῖον τοῦτο γένηται. ὁ Βλαῖρ, περὶ τοῦ ἐπὶ τὸ Ἰρᾶκ πολέμου ἐρωτώμενος, οὐ μόνον περὶ τοῦ Ἰρᾶκ πολλὰ εἶπεν ἀλλὰ καὶ εἶπεν ὅτι οὐδαμῶς δέοι τὸν δυτικὸν κόσμον τὸ Ἰρᾶν ἐᾶν οὐράνιον ἐργάζεσθαι· κατὰ δὲ τὸν Βλαῖρ τὸ Ἰρᾶν τὴν μὲν τοῦ δυτικοῦ κόσμου δίαιταν μισεῖ καὶ τοῖς τρομοκράταις ἐπικουρεῖ, ἔπειτα δὲ πυρηνικὰ ὅπλα κτησάμενον οὐδενὸς κωλύοντος αὐτοῖς δοῦναι οἷόν τ᾽ ἔσται.

## Revolt in Egypt / Berlusconi and the judges / Old thieves in Japan

(29-01-11)

### Ἐπανάστασις ἐν τῇ Αἰγύπτῳ

Οἱ τῆς Αἰγύπτου πολῖται τῇ τῆς χώρας ἀρχῇ ἐπανεστήκασιν, ἄλλως τε καὶ τῷ προέδρῳ Χόσνι Μουβάρακ· τῆς οἰκονομικῆς καταστάσεως ἤδη κακῆς οὔσης, ἐπειδὴ ὁ Ἐλ Βαραδεῖ, ὃς τὸ Νόβελ τῆς Εἰρήνης Ἆθλον πάλαι ἐδέξατο, ἐν τῷ ἀερολιμένι κατελήφθη ἐκ τῆς Ἑλβετίας εἰς τὴν Αἴγυπτον ἀφικόμενος οἱ πολῖται ἔτι μᾶλλον ἐπανέστησαν. ἀκριβῶς δὲ αὕτη ἡ ἐπανάστασις οὐκ ἐν τῇ Αἰγύπτῳ ἤρξατο ἀλλὰ ἐν τῇ Τυνησίᾳ, ταχέως δὲ οἱ τῆς Αἰγύπτου πολῖται τὸ αὐτὸ ἐποιήσαντο, νῦν δὲ τὸ αὐτὸ καὶ ἐν τῇ Ἰορδανίᾳ γίγνεσθαι ἤρξατο. ἡ τῆς Αἰγύπτου ἀρχὴ ἐπείρασε τὸ διαδύκτιον κατακλεῖσαι ἵνα οἱ πολῖται οὐ δύναιντο ἐνστάσεις συντάττειν, μάτην δέ, οἱ γὰρ πολῖται πολλὰς ἄλλας ὁδοὺς εὑρήκασι δι᾽ ὧν πάντα συντάττειν ἔχουσιν, νῦν δὲ πλεῖστοι τῶν τοῦ Καίρου πολιτῶν ἐν τῇ ἀγορᾷ Ταχρῖρ (ἐν τῷ τῆς πόλεως κέντρῳ) μένουσιν.

καὶ δὴ καὶ ἡ τῆς Σίνης ἀρχὴ τὸν λόγον "Αἴγυπτον" ἐν τῷ τε διαδυκτίῳ καὶ τῷ Τουίτερ ἀπείρηκεν, οὐ γὰρ βούλονται τοὺς ἑαυτῶν πολίτας τῶν ἐν τῷ Αἰγύπτῳ γεγενημένων αἰσθάνεσθαι τὸ αὐτὸ καὶ ἐν τῇ Σίνῃ ποιεῖν.

### Ὁ Βερλουσκόνι καὶ οἱ κριταὶ

Ὁ Ἰταλιανὸς πρωθυπουργὸς Βερλουσκόνι τοὺς πολίτας ἐπεκάλεσεν ἵνα ἐν τῷ Μιλάνῳ ἐπὶ τοὺς κριτὰς διαδηλώσωσιν. οἱ μὲν κριταὶ ἐξηῦρον ὅτι ὁ Βερλουσκόνι πάλαι κόρην "ἐφίλησε"

τότε ἔτι παῖδα οὖσαν, νῦν δὲ βούλονται αὐτὸν δικάζειν, ὁ δὲ Βερλουσκόνι διαβεβαιοῦται ὅτι αὐτὸς μὲν οὐδὲν κακὸν οὐδέποτε ἐποίησεν, οἱ δὲ κριταὶ πειρῶνται αὐτὸν ἐκ τῆς ἀρχῆς ἐκβαλεῖν καίπερ αἰτίας ἐκτὸς ὄντα, διὰ δὲ ταῦτα τοὺς πολίτας ἐπικέκληκεν.

**Γηραιοὶ κλέπται ἐν τῇ Ἰαπωνίᾳ**

Ἐν τῇ Ἰαπωνίᾳ πολλοὶ γέροντες κλέπτουσιν· οὐ κλπέπτουσιν ἅτε χρήματα οὐκ ἔχοντες, ἔχουσι γάρ, ἀλλὰ διότι εἰς τὸ δεσμωτήριον ἄγεσθαι βούλονται, λέγουσι γὰρ ὅτι μόνοι μέν εἰσι καὶ ὅτι οὐδεὶς αὐτοὺς οὐδενὸς ποιεῖται, οἱ γὰρ οἰκεῖοι αὐτοὺς ἐν τῇ οἰκίᾳ μόνους καταλείπουσιν, ἐν δὲ τῷ δεσμωτηρίῳ φίλους ἔχουσι καὶ ὑπὸ τῶν ἄλλων θεραπεύονται ἅτε γέροντες ὄντες.

## Will Mubarak move to Montenegro? / Man executed in Iran because of claiming to be God / Thailand and Cambodia sign treaty about border

(05-02-11)

**Ἆρα ἐξελεύσεται ὁ Μουβάρακ πρὸς τὸ Μαυροβούνιον;**

Οἱ ἐν τῷ Μαυροβουνίῳ δημοσιογράφοι ἔγραψαν χθὲς ὅτι ἴσως ὁ τῆς Αἰγύπτου πρόσθιος πρόεδρος Μουβάρακ, ἐὰν ἐκ τῆς ἑαυτοῦ χώρας ἐξελθεῖν ἀναγκαῖον γένηται, πρὸς ταύτην τὴν χώραν προσελεύσεται ὡς φυλακὴν ζητήσων· τοῦτο δὴ οὐκ ἄνευ λόγου διαβεβαιοῦνται, ὁ μὲν γὰρ τοῦ Μουβάρακ υἱὸς πάλαι μεγάλην συνθήκην ἐκεῖ ἐποιήσατο περὶ τῆς παρὰ τῷ αἰγιαλῷ τουριστικοῦ κέντρου οἰκοδομίας, κατὰ δὲ τούτους τοὺς δημοσιογράφους ὁ Αἰγύπτιος ὑπερπλούσιος Σαουίρις καὶ ἄλλοι εἴκοσι πλούσιοι Αἰγύπτιοι καὶ ἔνιοι τοῦ Μουβάρακ οἰκεῖοι ἐκ τῆς Αἰγύπτου πρὸς τὴν Κύπρον ἤδη ἐξέφυγον πολλὰ χρήματα λαβόντες, νῦν δὲ ὁ Σαουίρις δι᾽ ὀλίγου πρὸς τὸ Μαυροβούνιον προσελεύσεται ἵνα τὴν τοῦ Μουβάρακ ἄφιξιν παρασκευάζῃ. καὶ δὴ καὶ ὁ πρόσθιος τῆς Ταιλανδίας πρωθυπουργὸς Σιναουάτρα, ἐκ τῆς ἀρχῆς ἐκβληθείς, ἐκεῖ οἰκεῖ τε καὶ ξενοδοχεῖον οἰκοδομεῖ.

**Ἐν τῷ Ἰρὰν ἄνθρωπον θανατοῦσι Θεὸν εἶναι λέγοντα**

Ἰρανὸς ἄνθρωπος ὃς ἔλεγεν ὅτι Θεὸς εἴη καταγνωσθεὶς ἐθανατώθη, οἱ γὰρ δικασταὶ αὐτοῦ ἀποστασίαν κατηγόρησαν καὶ ἐν τῷ Ἰρὰν ἡ ἀποστασία θανάτου ἀξία ἐστίν· οὗτος δὲ ὁ ἄνθρωπος, Γαραβὰτ ὀνόματι, οὐ μόνον ἔλεγεν ὅτι Θεὸς εἴη ἀλλὰ καὶ πολλοὺς νεανίας ἐξηπάτησεν ἵνα ἑαυτὸν λατρεύοιεν. ἄλλα παρανομήματα, οἷα ὁ φόνος καὶ ἡ μοιχεία καὶ ἡ παράνομος εἰσαγωγὴ φαρμάκων, καὶ τοῦ θανάτου ἄξιά εἰσιν ἐν τῷ Ἰρὰν κατὰ τοὺς ἰσλαμικοὺς νόμους οἳ ἐκ τοῦ ἰσλαμικοῦ νεωτερισμοῦ τῶν πολιτῶν ἄρχουσιν.

**Ἥ τε Ταιλάνδη καὶ ἡ Καμβόζη συνθήκας περὶ τοῦ ὅρου ποιοῦνται**

Ἥ τε Ταιλάνδη καὶ ἡ Καμβόζη μηκέτι μάχεσθαι ἐν τῷ χωρίῳ ὡμολογήσαντο περὶ οὗ αἱ δύο χῶραι νεωστὶ ἅμιλλαν ἐποίουν· προχθὲς μὲν πέντε ἄνθρωποι ἐκεῖ ἀπέθανον (εἷς μὲν στρατιώτης καὶ εἷς πολίτης τῆς Ταιλάνδης, δύο δὲ στρατιῶται καὶ εἷς πολίτης τῆς Καμβόζης), οἱ δὲ δύο κυριώτατοι στρατηγοὶ ὡμολόγησαν καὶ μηδένα ἄλλον στρατιώτην ἐκεῖσε πέμψαι· ἀληθῶς δὲ τὸ τοῦ προβλήματος κέντρον χεμερινὸς ναός ἐστιν ἐν τῇ ἑνδεκάτῃ ἑκατονταετίᾳ ᾠκοδομημένος, οὗτος γὰρ ὁ ναὸς μεταξὺ τῶν δυοῖν χωρῶν κεῖται.

## China pays dissidents to avoid revolts / French judges strike against Sarkozy / Japan claims back again the Kuril islands

(12-02-11)

**Ἡ Κίνα τοῖς στασιάζουσι χρήματα παρέχει ἵνα στάσεις κωλύῃ**

Οἱ τῆς Κίνης ἄρχοντες χρήματα πολλοῖς στασιάζουσι παροχώκασιν ἵνα οὗτοι ἀγγέλματα περὶ τῆς ἐν τῇ Αἰγύπτῳ στάσεως μήτε διὰ τοῦ διαδικτύου μήτε διὰ χαρτῶν διασπείρωσιν, οὐ γὰρ βούλονται τὸ αὐτὸ ἐν τῇ Κίνῃ γενέσθαι· νεωστὶ οὗτοι μὲν οἱ στασιάζοντες, οὓς οἱ φύλακες ἤδη γιγνώσκουσιν, ἐν ταῖς ἀγυίαις χάρτας τοῖς παριοῦσι διεδίδοσαν ἀνακρίσεις περὶ τῆς ἐν τῇ Αἰγύπτῳ στάσεως ἐχούσας, οἱ δὲ φύλακες αὐτοὺς ᾔτησαν τοῦτο ποιοῦντας παύεσθαι, ἀντὶ δὲ τούτου αὐτοῖς τρισχιλίους ἰουάνας παρέσχον (τὸ νόμισμα ᾧ ἐν τῇ Κίνῃ χρῶνται ἰουὰν καλεῖται). ὅμως δὲ οἱ φύλακες οὐδένα βίᾳ κατέλαβον, μόνον γὰρ αὐτοὺς τὰς χάρτας διαδιδόναι ἐκώλυσαν.

**Οἱ ἐν τῇ Γαλατίᾳ δικασταὶ ἐπὶ τὸν Σαρκοζὶ ἀπεργοῦσιν**

Πλεῖστοι τῶν ἐν τῇ Γαλατίᾳ δικαστῶν ἀπεργοῦσιν ἅτε τῷ Σαρκοζὶ ἐνιστάμενοι, ὁ γὰρ πρόεδρος τοὺς δικαστὰς ἤδη πολλάκις ἐμέμψατο ἅτε τῶν ἀδικούντων οὐ καταγιγνώσκοντας, λέγει δὲ ὅτι πολλάκις οἱ δικασταὶ τοὺς σαφῶς ἀδικούντας ἀλόγως ἐλευθεροῦσι καίπερ αἰτίους ὄντας. νεωστὶ μὲν παράνομός τις ὃς καίπερ πολλάκις καταληφθεὶς ἐλεύθερος ἦν (ἀεὶ γὰρ αὐτὸν οἱ δικασταὶ ἠλευθέρουν) κόρην ἐν τῇ Πόρνικ ἀπέκτεινεν, ὁ δὲ Σαρκοζὶ νομίζει τοὺς δικαστὰς τούτου αἰτίους εἶναι· τὸ δὲ αὐτὸ πολλάκις ἀκούσαντες, τοῖς δικασταῖς τρεῖς ἡμέρας ἀπεργεῖν ἔδοξεν.

**Ἡ Ἰαπωνία αὖθις τὰς Κουρίλες νήσους ἀπαιτεῖ**

Ὁ μὲν τῶν ἐξωτερικῶν ὑπουργός, ὁ Μαεχάρα, τοὺς τῆς Ῥωσσίας ἄρχοντας ᾔτησε τὰς Κουρίλες νήσους τῇ Ἰαπωνίᾳ ἀποδοῦναι, ἡ δὲ ἐν τῇ Μόσχῃ ἀρχὴ διεβεβαιώσατο ὅτι αὗται αἱ νῆσοι τῇ Ῥωσσίᾳ προσήκουσιν, ἀλλὰ κατὰ τοὺς τῆς Ἰαπωνίας ἄρχοντας αἱ Βόρειαι Χῶραι (οὕτω γὰρ ἐν τῇ Ἰαπωνίᾳ ταύτας τὰς νήσους καλοῦσιν) τῇ Ἰαπωνίᾳ ἐκ τῆς ἀρχῆς προσήκουσιν· τοῦ Δευτέρου Παγκοσμίου Πολέμου ἤδη τελευτῶντος, ἐπειδὴ αἱ ΗΑΠ τὰς δύο ἀτομικὰς βόμβας ἐπὶ τὴν Ἰαπωνίαν ἔρριψαν, τῇ ὑστεραίᾳ ταχέως ὁ Στάλιν εἰς ταύτας τὰς νήσους εἰσβάλειν ἐκέλευσεν, ἐκ δὲ τούτου τοῦ χρόνου ἡ Ἰαπωνία πεπείραται αὐτὰς ἀναλαβεῖν.

## 200 die in Libya / Japan looks for corpses in Iwo Jima / Oldest Mannekenpis stolen

(20-02-11)

**Διακόσιοι ἀποθνῄσκουσιν ἐν τῇ Λιβύῃ**

Διακόσιοι πολῖται ἀπέθανον τήμερον ἐν τῇ Λιβύῃ, ἐκ δὲ τούτων οἱ πλεῖστοι ἐν τῇ Βεγγάσι, ὑπὸ τῶν στρατιωτῶν. οἱ τῆς Λιβύης πολῖται, τὸ αὐτὸ καὶ οἱ τῆς Αἰγύπτου πολῖται ποιεῖν πειρῶντες, τῇ τοῦ Γαδδάφι δικτατωρείᾳ ἐνεστήκασιν· πρῶτον μὲν τριάκοντα καὶ πέντε ἀπέθανον προχθές, τήμερον δέ, ἐπειδὴ οἱ πολῖται πρὸς τὴν νεκρόπολιν προὐχώρουν τοὺς

νεκροὺς φέροντες ἵνα θάψαιεν, οἱ στρατιῶται ἀλόγως τε καὶ ἐξαίφνης πρὸς αὐτοὺς ἐπυροβόλησαν. οὐδεὶς ἀκριβῶς οἶδε ὁπόσοι ἀπέθανον, ὁ γὰρ Γαδδάφι ἐκέλευσε τάς τε ἄλλας ἀγγελιῶν ὁδοὺς καὶ τὸ διαδίκτυον παντελῶς κλεῖσαι, οὐκοῦν τὸ αὐτὸ γεγένηται νῦν ἐκεῖ καὶ ἐν τῇ Σίνῃ μετὰ τοὺς ἐν τῇ ἀγορᾷ Τιανανμὲν φόνους, οὐ γὰρ ἔξεστι περὶ τῶν γενομένων αἰσθάνεσθαι. ἐκ πασῶν των ἐπαναστάσεων νεωστὶ ἐν ταῖς ἀραβικαῖς χώραις γενομένων (ἐν τῇ Αἰγύπτῳ καὶ τῇ Τυνησίᾳ κτλ) αὕτη ἡ ἀγριωτάτη γεγένηται.

**Ἡ Ἰαπωνία νεκροὺς ἐν τῇ Ἴβο Χίμα ζητεῖ**

Ἐν τῇ νήσῳ Ἴβο Χίμα δισμύριοι καὶ πεντακισχίλιοι Ἰαπωνικοὶ στρατιῶται ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ ἀπέθανον, αὕτη γὰρ ἡ ἀγριωτάτη μάχη ἦν τῶν ἐν τῷ Εἰρηνικῷ Ὠκεανῷ τότε γενομένων. ἐξ οὗ ὁ πόλεμος ἐτελεύτησεν, ἐνακισχίλιοι νέκροι ηὑρέθησαν, μένουσι δὲ δωδεκακισχίλιοι οὓς οὔποτε ηὗρον, λέγεται δὲ ὅτι τούτων οἱ πλεῖστοι ἔνδον τῶν τε σπηλαίων καὶ τῶν ὑπονόμων κεῖνται οἷς οἱ στρατιῶται ὡς καταφυγῇ ἐχρήσαντο. μετὰ δὲ τὸν πόλεμον αὕτη ἡ νῆσος πρῶτον μὲν ὑπὸ τῶν Ἀμερικανῶν κατεσχέθη, οὗτοι δὲ τῇ Ἰαπωνίᾳ ἔπειτα μετὰ εἴκοσι ἔτη ἀπέδοσαν. νῦν δὲ ὁ Ἰαπωνικὸς πρωθυπουργὸς Ναότο Κᾶν ὑπέσχετο πάντας τοὺς νεκροὺς εὑρήσειν καὶ τοῖς οἰκείοις δώσειν.

**Τὸν ἀρχαιοτάτον Μάννεκενπις κλέπτουσιν**

Πάντες ἴσμεν ὅ τι ὁ Μάννεκενπίς ἐστιν· μικρὸν ἄγαλμα ὃ παῖδα οὐροῦντα ἐμφαίνει, τοῦτο δὲ τὸ ἄγαλμα ἐν τῇ Μεγάλῃ Ἀγορᾷ τῶν Βρυξελλῶν κείμενον μυρίοι τουριστῶν καθ' ἐνιαυτὸν φωτογραφοῦσιν. νῦν δὲ τὸ ἄγαλμα ἔκλεψαν, οὐ μέντοι τὸ ἐν ταῖς Βρυξέλλαις κείμενον, ἄλλο δὲ ἄγαλμα ὃ ἐν τῇ πόλει Γερααρδσβέργεν κεῖται (ἢ ἔκειτο). οἱ μὲν αὐτὸ κλέψαντες λέγουσιν ὅτι τοῦτο ἐποίησαν ἵνα πᾶσι ἀγγείλειαν ὅτι τὸ ἐν Γερααρδσβέργεν κείμενον ἄγαλμα ἀρχαιότερόν ἐστι τοῦ ἐν Βρυξέλλαις, ὁ δὲ τῆς πόλεως ἄρχων ἐλπίζει τοὺς κλέπτας τὸ ἄγαλμα δι' ὀλίγου ἀποδώσειν.

## Earthquake in New Zealand / Rebel general calls army against Gaddafi / New demonstration in China

(26-02-11)

**Σεισμὸς ἐν τῇ Νέᾳ Ζηλανδίᾳ**

Τῇ Τρίτῃ ἐν τῇ Νέᾳ Ζηλανδίᾳ, ἐν τῇ πόλει Κράισττσερτς, μέγας σεισμὸς ἐξ ἀπροσδοκήτου ἐγένετο· τὸ μὲν ἐπίκεντρον ἐγγὺς ἦν (μόνον πέντε χιλιομέτρα ταύτης τῆς πόλεως ἀπέχον), διὰ δὲ τοῦτο τοσαύτη ἡ δυστυχία ἐγένετο· πολλὰ μὲν οἰκήματα κατέπεσεν, νῦν δὲ μόνον τὸ ἥμισυ τῆς πόλεως ὕδωρ ἔχει. ἤδη ἑκατὸν καὶ πεντήκοντα νεκροὺς ηὑρήκασιν, ἀλλὰ ἔτι καὶ νῦν διακόσιοι ἄνθρωποι ὑπὸ τῶν πτωμάτων μένουσιν, φοβοῦνται δὲ οἱ αὐτοὺς ζητοῦντες μὴ οὗτοι ἀποθάνοιεν. ὁ τῆς χώρας πρωθυπουργὸς Ἰωάννης Κεῖ χθὲς ἐν τῇ Κράισττσερτς ἦν, δεῖ γὰρ νῦν τὴν πᾶσαν πόλιν ἀνοικοδομεῖν, καὶ χάριν ἔσχε ταῖς ἄλλαις χώραις αἳ ἑκουσίᾳ ἤδη βοήθειαν παρέσχον ἵνα τοὺς ἔτι ὑπὸ τῶν πτωμάτων μένοντας ζητοῖεν.

**Ἀναστὰς στρατηγὸς τὴν στρατιὰν πρὸς τὸν Γαδάφι ἐπικαλεῖται**

Ὁ στρατηγὸς Ἀβδοῦλ Νάφα Μοῦσα, ὃς τὴν ἀνατολικὴν χώραν τῆς Λιβύης κατέχει, τοὺς ἄλλους στρατηγοὺς ἐπικαλεῖται ἵνα πρὸς τὴν Τρίπολιν εἰρηνικῶς προσχωρῶσι καὶ τῇ ἀρχῇ ἀναστῶσιν. οὗτος ὁ στρατηγός, καίπερ νῦν τὸ στράτευμα παρασκευάζων, τῇ πόλει προσβαλεῖν ἐν νῷ οὐκ ἔχει, λέγει γὰρ ὅτι δεῖ τὸ στράτευμα τοὺς πολίτας φυλάττειν μηδὲ αὐτοῖς ἐπιτίθεσθαι, ἐλπίζει δὲ τοὺς πολίτας αὐτοὺς τὴν Τρίπολιν ἐλευθερώσειν. τοῖς δὲ δημοσιογράφοις ἐρωτῶσι πότερον ξένοι στρατιῶται τῆς ἐπαναστάσεως μετέχοιεν ἢ οὔκ, ἀπεκρίνατο ὅτι οὐδεμία ἄλλη χώρα οὐδενὸς μετέχει. ἐν δὲ τούτῳ ὁ μὲν Γαδάφι ἔτι ἐν τῇ Τρίπολει μένει, τὴν γὰρ ἀρχὴν καταλιπεῖν οὐ βούλεται, οἱ δὲ αὐτῷ ἐπικουροῦντες καθ' ἡμέραν πλείονας πολίτας ἀποκτείνουσιν.

**Νέα διαδήλωσις ἐν τῇ Κίνῃ**

Τῇ Κυριακῇ οἱ τῇ Κινεζικῇ ἀρχῇ ἀνιστάμενοι διαδήλωσιν ἐν τῇ πρωτευούσῃ παρασκευάζειν ἐπείρασαν, ὅμως δὲ ὀλίγων πολιτῶν ἐκεῖ παρόντων (πλείονες φύλακες ἢ διαδηλωταὶ παρῆσαν) οὐκ εὐτύχησαν, ἡ μὲν γὰρ ἀρχὴ τὸ διαδίκτυον παντελῶς κατέχει, οἱ δὲ τὴν διαδήλωσιν παρασκευάζοντες τούτῳ χρῆσθαι ἐπειράσαντο ἵνα τοὺς πολίτας ἀνακαλοῖεν. νῦν δέ, μετὰ ταύτην τὴν ἑβδομάδα, τοὺς πολίτας αὖθις ἀνακαλεῖν πειράσονται ἄλλαις

μεθόδοις χρώμενοι, ἀλλὰ βούλονται νῦν οὐ μόνον μίαν διαδήλωσιν ἐν τῇ πρωτευούσῃ γενέσθαι ἀλλὰ καὶ ἅμα ἐν πολλαῖς ἄλλαις πόλεσιν.

## State of affairs in Libya / Alexander II and Abraham Lincoln meet in Moscow
(05-03-11)

**Ἡ ἐν τῇ Λιβύῃ κατάστασις**

Οἱ στρατιῶται οἱ τῷ Γαδάφι ἔτι πιστοὶ ὄντες καὶ οἱ ἀναστάντες μάχονται περὶ τῶν πολέων ἐγγὺς τῆς πρωτευούσης Τριπόλεως οὐσῶν, κατὰ δὲ τὴν τηλεόρασιν ῏Αλ Χαζίρα ἀγριωτάτη μάχη ἐγένετο ἐν τῷ τῆς πόλεως Ῥᾶς Λανοῦφ λιμένι, πετρελαιοφόρῳ λιμένι ἑξακόσια χιλιόμετρα τῆς Τριπόλεως ἀπέχοντι, καὶ ἐν τῇ πόλει Ζαουίια, πεντήκοντα χιλιόμετρα ἀπεχούσῃ· οἱ τῷ Γαδάφι πιστοὶ ἀεροπιλότοι αὖθις ἐπὶ τὴν πόλιν Βρῖκα βόμβας κατέρριψαν, ἡ γὰρ Βρῖκα πετρελαιοφόρον κέντρον ἐστὶν ὃ οἱ ἀναστάντες νῦν κατέχουσιν (ἡ Βρῖκα διακόσια χιλιόμετρα τῆς Βεγγάζης ἀπέχει), χθὲς δὲ οἱ μὲν τοῦ Γαδάφι στρατιῶται εἰς τὸν τῆς Βρῖκα ἀερολιμένα ἀφικόμενοι καταλαβεῖν ἐπειράσαντο, ὅμως δὲ οἱ ἀναστάντες ἐκεῖθεν δι᾽ ὀλίγου βίᾳ τούτους ἀπήλασαν, νῦν δὲ προχωροῦσιν οἱ ἀναστάντες πρὸς τὴν Σίρτην, τὴν πόλιν οὗ ὁ Γαδάφι ἐγένετο, τὸ γὰρ ταύτην τὴν πόλιν καταλαβεῖν μέγα σύμβολον τῆς νίκης γένοιτο ἄν. ἐν δὲ τούτῳ διαλέγονται αἱ ἑσπέριαι χῶραι πότερον δεῖ ἐπὶ τὴν Λιβύην στρατεύειν ἵνα τοῖς ἀναστᾶσιν βοηθῶσιν ἢ οὔ.

**Ὁ Ἀλέξανδρος ὁ Δεύτερος καὶ ὁ Ἀβραὰμ Λίγκολν ἐν τῇ Μόσχῃ συνέρχονται**

Ὁ Ζὰρ Ἀλέξανδρος ὁ Δεύτερος καὶ ὁ Ἀβραὰμ Λίγκολν τῷ ὄντι οὔποτε ἀλλήλοις συνῆλθον, νῦν δὲ ἐν τῇ Μόσχῃ ἔκθεσίς τις αὐτοὺς τιμᾷ καὶ ἡμᾶς μιμνῄσκει ὅτι ἑκατοστὸν καὶ πεντηκοστὸν ἔτος τοῦτο ὁ μὲν Ζὰρ τὴν ἐλευθέρωσιν τῶν δούλων ὑπέγραψεν, μετὰ δὲ δύο ἔτη ὁ Α. Λίγκολν, τοῦ οἰκείου πολέμου οὐκέτι τελευτήσαντος, τοὺς ἐν τῇ Ἀμερικῇ δούλους ἐλευθέρωσεν. οἱ δὲ ἀριθμοὶ οὐχ ὁμοῖοί εἰσιν, ὁ μὲν γὰρ Ζάρ, τὸ βούλευμα ὑπογράψας, εἴκοσι καὶ τρία ἑκατομμύρια ἀνθρώπων ἠλευθέρωσεν, ὁ δὲ Λίγκολν τέτταρα ἑκατομμύρια. καίπερ οὔποτε συνελθόντες, οἱ δύο ἄρχοντες ἐπιστολάς τε καὶ πρεσβευτὰς πρὸς ἀλλήλους ἔπεμψαν· πρῶτον μέν, τοῦ Ἀμερικανοῦ οἰκείου πολέμου ἤδη τελευτήσαντος καὶ τῶν δούλων

ἐλευθερωθέντων, ἔνιαι μὲν τοῦ Ῥοσσικοῦ ναυτικοῦ νῆες εἰς τὴν Νέαν Ὑόρκην ἀφίκοντο, ἄλλαι δὲ εἰς τὸν Σὰν Φρανσίσκον ἀφίκοντο, ἐκεῖ δὲ ἑπτὰ μῆνας ἔμενον· ἔπειτα δέ, μετὰ τέτταρα ἔτη, ἔνιοι ἔνδοξοι Ἀμερικανοὶ πολῖται, ἐν οἷς ὁ συγγραφεὺς Μὰρκ Τουαίην ἦν, τῷ Ἀλεξάνδρῳ τῷ Δευτέρῳ ἐν τῇ Κριμέᾳ συνῆλθον. ἐν δὲ ταύτῃ τῇ ἐκθέσει πυθέσθαι ἔξεστι καὶ περὶ τῆς τάξεως ἑκατέρου, ἀνομοιῶν ἀλλήλαις οὐσῶν, ὁ μὲν γὰρ Λίγκολν υἱὸς ἦν γεωργοῦ πένητος οὔτε γράφειν οὔτε ἀναγιγνώσκειν ἔχοντος, ὁ δὲ Ἀλέξανδρος πάντα ἐκ παιδὸς εἶχε καὶ τέτταρας γλώττας ἐγίγνωσκεν. τοῖς δὲ δυοῖν ἄρχουσι καὶ τόδε κοινὸν ὑπῆρξεν· ἄμφω ὑπὸ τρομοκρατικῆς προσβολῆς ἀπέθανον.

## More multimillionaires in Moscow than in New York / Three BBC journalists maltreated by Gaddafi soldiers / Terrible catastrophe in Japan

(12-03-11)

### Πλείονες πολυπλούσιοι ἐν τῇ Μόσχῃ ἢ ἐν τῇ Νέᾳ Ὑόρκῃ

Τὸ πάλαι οἱ πλεῖστοι τῶν πλουσιωτάτων ἀνθρώπων ἐν ταῖς ΗΑΠ ᾤκουν, τούτων δὲ πολλοὶ ἐν τῇ Νέᾳ Ὑόρκῃ· νῦν δὲ τοῦτο οὐκέτι οὕτως ἔχει, οἱ μὲν γὰρ τοῦ "Φόρβης" περιοδικοῦ δημοσιογράφοι νέον κατάλογον ἐκδεδόκασι τῶν ἑκατὸν πλουσιωτάτων ἀνθρώπων ἐν τῇ οἰκουμένῃ (κατ᾽ ἐνιαυτὸν νέον κατάλογον ἐκδιδόασιν), τούτων δὲ τῶν ἑκατὸν πεντεκαίδεκα ἐν τῇ Μόσχῃ νῦν οἰκοῦσιν. ὁ πλουσιώτατος ἀνὴρ τῆς Ῥωσσίας ὁ Βλαδίμιρ Λίσιν ἐστίν (καὶ ἐν τῇ Μόσχῃ οἰκεῖ, ὡς τὸ εἰκός). αὕτη ἡ πόλις νομίζεται πόλις εἶναι τοῖς πλουσιωτάτοις, τιμιωτάτη γάρ ἐστιν ἐκεῖ οἰκεῖν, ἄλλως τε καὶ οἶκον ὠνεῖσθαι.

### Τρεῖς δημοσιογράφοι τῆς BBC αἰκίζονται ὑπὸ τῶν τοῦ Γαδάφι στρατιωτῶν

Τρεῖς δημοσιογράφοι τῆς BBC οἳ ἐν τῇ Λιβύῃ περὶ τῆς ἐπαναστάσεως ἐζήτουν ὑπὸ τῶν τοῦ Γαδάφι στρατιωτῶν ᾐκίσθησαν· οἱ μὲν δημοσιογράφοι εἰς τὴν πόλιν Ζαουίαν ἀφίκεσθαι ἐν νῷ εἶχον, ὅμως δὲ ἐκεῖσε πορευόμενοι ἐν τῇ ὁδῷ καταληφθέντες πρὸς στρατόπεδόν τι ἐν τῇ Τριπόλει ὂν προσηνέχθησαν, ἐκεῖ δὲ πρῶτον μὲν αὐτοὺς ἤροντο ὅ τι ἐκεῖ ποιοῖεν καὶ ᾧτινι ἐργάζοιντο, ἔπειτα δὲ ἐπλήγησαν· τέλος δὲ οἱ φύλακες ἐπυροβόλησαν αὐτοὺς ἀποκτείνειν

προσποιούμενοι. τῶν δὲ δημοσιογράφων δι᾽ ὀλίγου λυθέντων, οὐδεὶς τῆς Λιβυκῆς ἀρχῆς ἐξηγήσατο διὰ τί αὐτοὺς καταλάβοιεν.

**Δεινὴ συμφορὰ ἐν τῇ Ἰαπονίᾳ**

Προχθὲς δεινὸς σεισμὸς ἐν τῇ Ἰαπονίᾳ ἐγένετο· καίπερ τοῦ ἐπικέντρου οὐκ ἐν ταῖς νήσοις αὐταῖς ἀλλὰ ἐν τῇ θαλάττῃ ὄντος, τὰ ἀποβαίνοντα εἰς τὰς νήσους ἀφίκετο. πρῶτον μὲν ὁ σεισμὸς αὐτὸς ἐν ταῖς πόλεσι πολλὰ οἰκήματα κατέβαλεν, τῶν δε ἔνδον ὄντων ἔνιοι μὲν ὡς τάχιστα εἰς τὰς ἀγυίας ἐξέδραμον ᾧτινι καιρὸς εἴη, ἄλλοις δὲ οὐκ ἐξῆν πρὶν τὰ οἰκήματα καταπέσοι· ἔπειτα δὲ μέγιστον κῦμα (ζουνάμι τοῦτο καλεῖται) ἐν τῷ τοῦ σεισμοῦ ἐπικέντρῳ γενόμενον πρὸς τὴν παραλίαν ἀφικόμενον πᾶν ᾧτινι ἐντύχοι διέφθειρεν, τοῦτο δὲ τὸ κῦμα χαλεπώτερον ἐγένετο ἢ ὁ σεισμὸς αὐτός· ἔνιαι μὲν κῶμαι παντελῶς ἠφανίσθησαν, πολλαὶ δὲ νῆες αἳ ἐν τοῖς λιμέσι ὡρμοῦντο εἰς τὰς πόλεις εἱλκύσθησαν, κτλ. ἴσως μὲν δισχίλιοι ἄνθρωποι ἀπέθανον, ὅμως δὲ πολλῷ πλείονες (μύριοι) οὐκέτι ηὑρέθησαν.

## Allies attack Gaddafi / World highest TV tower, finished in Tokyo / Elections in Egypt

(20-03-11)

**Οἱ σύμμαχοι τῷ Γαδδάφι ἐπιτίθενται**

Χθὲς Γαλλικὰ ἀεροσκάφη τοῖς τεθωρακισμένοις ἅρμασι τοῦ στρατεύματος ὃ τῷ Γαδδάφι ἐπικουρεῖ ἐπέθεντο, τούτων δὲ πέντε διέφθειραν. αὕτη δέ ἐστιν ἡ πρώτη ἐπὶ τὸν Γαδδάφι προσβολὴ ἐξ οὗ τοῖς συμμάχοις ἔδοξε τοῖς ἐπαναστᾶσι βοηθεῖν, τοῦ γὰρ Ἡνωμένων Ἐθνῶν Οργανισμοῦ νεωστὶ τοὺς τῆς Λιβύης πολίτας φυλάττειν συμβουλεύσαντος πρῶτον μὲν εἴκοσι Γαλλικὰ ἀεροσκάφη χθὲς ἐγγὺς τῆς Βεγγάζης τῆς προσβολῆς ἤρξαντο, ἒπειτα δὲ Ἀμερικανικαὶ καὶ Βρετανικαὶ νῆες πρὸς τὸ τοῦ Γαδδάφι στράτευμα ἐγγὺς τῆς Βεγγάζης κείμενον πυραύλους τινὰς ἐπυροβόλησαν· ἡ Βεγγάζη τὸ μέγιστον κέντρον γεγένηται τῶν ἐπαναστάντων, πολλοὶ δὲ πολῖται, τοῦ Γαδδάφι τὴν ἐπὶ ταύτην τὴν πόλιν προσβολὴν ἀρξαμένου, αὐτὴν κατέλιπον. νῦν δὲ οἱ τῶν συμμάχων ἄρχοντες ἐν τῷ Παρίσι διαλέγονται, ἐκεῖσε γὰρ συνῆλθον ἅτε τοῦ Σαρκοζὶ τὴν ἐπὶ τὸν Γαδδάφι προσβολὴν μάλιστα

ἐποτρύνοντος. ὡς τὸ εἰκός, οἱ μὲν τῆς Ῥωσσίας ἄρχοντες τὴν τῶν συμμάχων προσβολὴν μέμφονται, ἅμα δὲ ὁ Γαδδάφι ἡσυχάζειν προσποιεῖται.

**Ὑψηλότατον τῆς οἰκουμένης πύργον ἐν τῷ Τόκιο τελευτῶσιν**

Καίπερ νεωστὶ δεινοτάτου σεισμοῦ ἐν τῇ Ἰαπωνίᾳ γενομένου περὶ οὗ πάντες ἀκηκόαμεν, οἱ ἐργασταὶ ἐν τῷ Τόκιο τὸν ὑψηλότατον τηλεοράσεως πύργον πάσης τῆς οἰκουμένης τετελευτήκασιν, ὃ θαυμαστόν ἐστιν· ὁ σεισμὸς ὃς τοσούτους ἀνθρώπους ἀπέκτεινεν εἰς τὸ Τόκιο ἀσθενὴς ἀφίκετο, τὰ οὖν τῆς πόλεως οὐκ ἐπαύσατο. τοῦτον μὲν τὸν πύργον τριῶν ἐτῶν ἐποίησαν, αὐτὸν δὲ "Οὐράνιον τοῦ Τόκιο Δένδρον" καλοῦσιν.

**Ἀρχαιρεσίαι ἐν τῇ Αἰγύπτῳ**

Οἱ τῆς Αἰγύπτου πολῖται ἐψηφίσαντο χθὲς ἵνα τὴν τῆς χώρας πολιτείαν μεταβάλωσιν (ταύτην τὴν ἀρχαίαν πολιτείαν ὁ πρόεδρος Μουβάρακ, ἤδη ἐκ τῆς ἀρχῆς ἀποβάντος, τὸ πάλαι ἐπετεθήκει). κατὰ τοὺς ξένους δημοσιογράφους, οἱ πλεῖστοι τῶν πολιτῶν ἐψηφίσαντο, πολλῷ πλείονες ἢ τὸ εἰκός. τοῦ μὲν Μουβάρακ ἐκ τῆς ἀρχῆς ἐκπεσόντος, ἡ ἀρχὴ ἑβδομάδας τινὰς ἐν τοῖς τῆς στρατιᾶς γούνασιν ἔκειτο, νῦν δὲ οἱ πολῖται οὔτε νέον πρόεδρον αἱροῦνται οὔτε νέαν ἀρχὴν ἀλλὰ περὶ τοῦδε ψηφίζονται, πότερον δεῖ ταῖς τῆς πολιτείας μεταβολαῖς ἐπικουρεῖν ἢ οὔ.

## Jihadists kill Italian activist / Cambodia wants excellent husbands / Croatian general Gotovina condemned

(16-04-11)

**Οἱ τζιχαδισταὶ Ἰταλιανὸν ἀκτιβιστὴν ἀποκτείνουσιν**

Ὁ Ἰταλιανὸς Βιττόριο Ἀρριγόνι ἀπέθανε χθὲς ὑπὸ τζιχαδιστῶν ἐν τῇ Γάζῃ· οὗτος μὲν ὁ Ἰταλιανός, ἐκεῖσε πάλαι ἀφικόμενος ἵνα τοῖς Παλαιστίνοις βοηθοίη, ἐν τῇ Γάζῃ αὐτῇ ᾤκει, προχθὲς δὲ ὑπὸ τῶν τζιχαδιστῶν ἀπήχθη, τῷ μὲν γὰρ προτέρῳ μηνὶ ὁ τῶν τζιχαδιστῶν ἄρχων κατελήφθη, νῦν δὲ ἐβούλοντο οἱ τζιχαδισταὶ αὐτὸν ἐλευθερῶσαι πειρᾶν. ἡ οὖν ἀπειλὴ

δηλοτάτη ἦν· εἴτε ἡ τοῦ ἄρχοντος ἐλευθερία εἴτε ἡ τοῦ Ἰταλιανοῦ ἀκτιβιστοῦ θάνατος. τοῦ μὲν τῶν τζιχαδιστῶν ἄρχοντος οὐκ ἐλευθερωθέντος, οἱ ἀπάγοντες τὸν ἀκτιβιστὴν ἀπέπνιξαν, τὸ δὲ σῶμα ἐν οἰκίᾳ τινὶ ἐν τῇ Γάζῃ ηὑρήθη. ταῦτα ἀκούσαντες, οἱ τῆς Χαμὰς ἄρχοντες τοῦτον τὸν φόνον ἔψεξαν.

**Ἡ Καμβοδία βελτίστους ἄνδρας βούλεται**

Πάντες ἴσμεν ὅτι πολλοὶ πλουσιώτατοι ἄνδρες καλὰς γυναῖκας ἐν ἄλλαις χώραις ζητοῦσιν, νῦν δὲ οἱ τῆς Καμβοδίας ἄρχοντες νέον νόμον περὶ τούτου ἔθεσαν· κατὰ τοῦτον τὸν νέον νόμον δεήσει τοὺς ξένους γυναῖκα τῆς Καμβοδίας γαμεῖν βουλομένους νεωτέρους ἢ πεντήκοντα ἔτη εἶναι καὶ ἀγαθὸν μισθὸν δέχεσθαι. πολλαὶ μὲν γυναῖκες τῆς Καμβοδίας ξένοις ἀνδράσι γαμοῦνται, ἔπειτα δέ, αὐτῷ πρὸς τὴν αὐτοῦ χώραν ἀκολουθήσασαι, ἐκεῖ κακῶς τε καὶ δυστυχῶς βιοῦσιν, οἱ δὲ ἄρχοντες τοῦτο παύειν πειρῶνται· ὅμως δὲ πολλαὶ γυναῖκες τοῦτον τὸν νόμον μέμφονται, λέγουσι γὰρ ὅτι αὐταὶ γαμεῖσθαι οἷαί τ᾽ εἰσὶν ᾧτινι ἂν βούλωνται.

**Τοῦ Κροατίου στρατηγοῦ Γοτοβίνα καταγιγνώσκουσιν**

Οἱ δικασταὶ οἳ τοὺς φόνους ἐν τῇ προτέρῃ Γιουγοσλαβίᾳ γενομένους ἐξετάζουσι τοῦ στρατηγοῦ Ἄντε Γοτοβίνα κατέγνωσαν· κατὰ μὲν πολλοὺς μάρτυρας οὗτος ὁ στρατηγός, πολέμου ἐκεῖ γενομένου, τοὺς ἑαυτοῦ στρατιώτας πολλοὺς πολίτας ἀποκτείνειν ἐκέλευσε καίπερ μόνον πολίτας ὄντας, ἐκέλευσε δὲ καὶ ἐπὶ κώμας βόμβας ῥίψαι καίπερ ἐκεῖ οὐδενὸς στρατιώτου ὄντος· μετὰ δὲ τὸν πόλεμον ἐκ μὲν τῆς Γιουγοσλαβίας ἐξέφυγεν, ἐν δὲ τῇ Τενερίφῃ (ἐν ταῖς Κανάρισι νήσοις) ᾤκει, οὗ κατελήφθη, ἔπειτα δὲ πρὸς τὴν Χάγην ἐνεχθεὶς κατεγνώθη εἴκοσι καὶ τέτταρα ἔτη ἐν τῷ δεσμωτηρίῳ μένειν.

## 112 die in Syria / France wants to abolish Schengen Treaty / St George: books and roses

(23-04-11)

**Ἑκατὸν καὶ δώδεκα ἀποθνῄσκουσιν ἐν τῇ Συρίᾳ**

Ἐξ οὗ οἱ τῆς Συρίας πολῖται ἤρξαντο τῷ Ἀσᾶδ ἐνίστασθαι, καθ' ἡμέραν ἔνιοι διαδηλωταὶ ἀπέθανον, ὅμως δὲ χθὲς τῇ Παρασκευῇ ἑκατὸν καὶ δώδεκα ὑπὸ τῶν τε φυλάκων καὶ τῶν στρατιωτῶν μιᾶς ἡμέρας ἀπέθανον, ὁ δὲ ὀργανισμὸς "Σύριος Νεωτερισμὸς" εἰς τὸ Facebook ἐν τῷ διαδικτύῳ τὰ ὀνόματα τούτων τῶν ἀποθανόντων ἐνέγραψεν ἵνα πάντες ἰδοῖεν τοῦτο τὸ ἄγγελμα ἀληθὲς ὄν. πλεῖστοι τούτων ἐν τῇ Δαμασκῷ καὶ ἐν τῷ Χὸμς ἀπέθανον, οὗ οἵ τε φύλακες καὶ οἱ στρατιῶται ἐπὶ τοὺς διαδηλωτὰς ἄνευ λόγου ἐπυροβόλησαν (ἔπειτα δὲ πρὸς τούτῳ ἡ τῆς χώρας ἀρχὴ τοὺς νεκροὺς τοῖς οἰκείοις ἀποδοῦναι οὐκ ἤθελεν). κατὰ δὲ τὸν τῶν ΗΑΠ πρόεδρον Ὀβάμα ἡ τῆς Συρίας ἀρχὴ τὸ Ἰρᾶν βοήθειαν ᾔτησεν ἵνα τοὺς διαδηλωτὰς κατέχοι.

**Ἡ Γαλατία τὴν τοῦ Σέγγεν συμφωνίαν καταλύειν βούλεται**

Ἡ τῆς Γαλατίας ἀρχὴ τὴν τοῦ Σέγγεν συμφωνίαν εἰς χρόνον τινὰ καταλύειν προτίθησιν, οὐ μέντοι εἰς ἀεί. διὰ τὸν ἐν τῇ Λυβίῃ πόλεμον πολλοὶ πολῖται ταύτης τῆς χώρας (καὶ τῆς Τυνησίας) εἰς τὴν Ἰταλίαν ἀφικόμενοι καθ' ἡμέραν εἰς τὴν Γαλατίαν εἰσελθεῖν πειρῶνται, νεωστὶ δὲ τοσοῦτοι ξένοι εἰς τὴν Γαλατίαν εἰσελθεῖν ἐπειράσαντο ὥστε ἡ ταύτης τῆς χώρας ἀρχὴ τοὺς σιδηροδρόμους ἐκ τῆς Ἰταλίας διὰ τῆς Βεντιμίγλιας (πόλεως ἐν τῇ Ἰταλίᾳ ἐγγὺς τοῦ ὅρου κειμένης) πρὸς τὸ Μεντὸν (πόλιν ἐν τῇ Γαλατίᾳ κειμένην) πορευομένους ἐν τῷ ὅρῳ αὐτῷ ἔπαυσεν, ὅμως δὲ τοῦτο μόνον ὥρας ἐνίας διέμενεν. νῦν δὲ ἡ τῆς Γαλατίας ἀρχὴ τὴν συμφωνίαν καταλύειν προτίθησιν ἕως ἡ ἄφιξις τοσούτων ξένων τέλος ἂν ἔχῃ.

**Ἅγιος Γεώργιος· βίβλους τε καὶ ῥόδα**

Τήμερον τῇ εἰκοστῇ καὶ τρίτῃ τοῦ Ἀπριλίου ἐν τῇ Καταλονίᾳ οἱ πολῖται τὸν Ἅγιον Γεώργιον τιμῶσιν, ὃς τὸν τελευταῖον δράκοντα πάλαι ἀποκτείνας προστάτης τῆς Καταλονίας ἐγένετο. καθ' εἰκοστὴν καὶ τρίτην τοῦ Ἀπριλίου ἡ αὐτὴ ἑορτὴ γίγνεται ἐν τῇ Καταλονίᾳ· τὰ μὲν βιβλιοπωλεῖα τὰς βίβλους ἐπὶ τραπέζας ἐν ταῖς ἀγυίαις μόνον τήμερον κειμένας ἐκτιθέασιν, πανταχοῦ δὲ ἔξεστι ῥόδα ὠνεῖσθαι· ἆρα διὰ τί; διότι κατὰ τὸ νομιζόμενον δεῖ τὸν μὲν ἄνδρα ῥόδον τῇ γυναικὶ ὠνεῖσθαι, τὴν δὲ γυναῖκα βίβλον τῷ ἀνδρί, διὰ δὲ ταῦτα ταύτην τὴν ἡμέραν καὶ "τὴν ἡμέραν τῆς βίβλου" καὶ "τὴν ἡμέραν τοῦ ῥόδου" καλοῦμεν. τὸ πέρυσιν ἓξ μὲν ἑκατομμύρια ῥόδων ἐπωλήθη ἐν τῇ Καταλονίᾳ, ἓν δὲ ἑκατομμύριον βίβλων.

## Gaddafi’s army crosses border into Tunisia / Asad kills his own citizens

(30-04-11)

**Τὸ τοῦ Γαδδάφι στράτευμα τὸν ὅρον εἰς τὴν Τυνησίαν διαβαίνει**

Οἱ τοῦ Γαδδάφι στρατιῶται τὸν ὅρον ὃς τὴν Λιβύην ἀπὸ τῆς Τυνησίας χωρίζει διαβάντες εἰς τὴν πόλιν Δῖβαν εἰσῆλθον, ἐκεῖ δὲ τοὺς πολίτας ἐφόβησαν, οἱ δὲ αὐτοὺς λίθοις ἔβαλλον ἵνα εἰς τὴν πόλιν εἰσιέναι οὐ σχοῖεν. πολλοὶ μὲν τῶν τῷ Γαδδάφι ἀνθισταμένων ἐκ τῆς Λιβύης ἐκφυγόντες καὶ τὸν ὅρον διαβάντες εἰς μὲν ταύτην τὴν πόλιν εἰσέβησαν, τοὺς δὲ τοῦ Γαδδάφι στρατιώτας ἐκεῖσε ἐκφυγόντες οὐκ ἔλαθον, τούτου δὲ ἕνεκα οἱ τοῦ Γαδδάφι στρατιῶται αὐτοὺς διώκοντες ἐκεῖσε μὲν ἀφίκοντο, ἐκεῖ δὲ ὥρας ἐνίας ἔμενον. ἔπειτα δὲ οἱ μὲν τῆς Τυνησίας στρατιῶται εἰς τὴν Δῖβαν ἀφίκοντο ὡς ζητήσοντες οἵτινες Λίβυοι στρατιῶται ἐκεῖ ἴσως ἔτι μένοιεν, ὅμως δὲ οὗτοι ἤδη εἰς τὴν Λιβύην ἐπανεληλύθεσαν. τήμερον δὲ ὁ Γαδδάφι τοῖς ξενίοις συμμάχοις συναλλαγὴν προέθηκεν, ἐν γὰρ τῇ ἀρχῇ μένειν πειρᾷ, ὅμως δὲ οἱ σύμμαχοι ταύτην τὴν συναλλαγὴν ἀπέωσαν, διαβεβαιοῦνται γὰρ ὅτι οὐκ ἔξεστι τῷ Γαδδάφι ἐν τῇ ἀρχῇ μένειν ὁτιοῦν νῦν παρέχειν βούληται ἄν.

**Ὁ Ἀσᾶδ τοὺς ἑαυτοῦ πολίτας ἀποκτείνει**

Ἐν τῇ πόλει Δεράᾳ, ἣ ἐπίκεντρον γέγονε τῶν τῷ Ἀσᾶδ ἀνθισταμένων ἐξ οὗ ὁ νεωτερισμὸς ἤρξατο, ἀπέθανον χθὲς τῇ Παρασκευῇ ἑξήκοντα ἄνθρωποι ὑπὸ τῶν τοῦ Ἀσᾶδ στρατιωτῶν, καὶ δὴ καὶ οὗτοι οἱ στρατιῶται τὴν πόλιν πολιορκοῦσι νῦν καὶ οὐκ ἐῶσι ἄλλους οἳ ἐν ταῖς ἐγγὺς κειμέναις κώμαις οἰκοῦσιν οὔτε σῖτον οὔτε ὕδωρ οὔτε φάρμακα εἰσφέρειν· τήμερον δὲ τῷ Σαββάτῳ ἅμ’ ἡμέρᾳ οἱ μὲν πολιορκούμενοι πολῖται τοὺς χθὲς ἀποθανόντας θάπτειν ἐπείρασαν, ὅμως δὲ οἱ τοῦ Ἀσᾶδ στρατιῶται αὖθις ἐπυροβόλησαν ἐπὶ τοὺς ἐκεῖ ἐν τοῖς ἐνταφίοις καίπερ ἀνόπλους ὄντας, ἅτε δὲ τῆς πόλεως ἔτι καὶ νῦν πολιορκουμένης οὐκ ἔξεστι τοῖς ἀσθενοφόροις αὐτοκινήτοις εἰς τὴν πόλιν ἀφικέσθαι. πρὸς δὲ τούτοις νῦν πολλοὶ Σύριοι πρὸς τὸν Λίβανον ἀποφεύγουσιν ἐκ τῆς τοῦ Ἀσᾶδ βίας ἐκφεύγοντες. ὡς μὲν τῷ Γαδδάφι, οἱ ξένιοι σύμμαχοι τῷ ἄρχοντι τὴν ἀρχὴν καταλιπεῖν κελεύουσιν, ὡς δὲ ὁ Γαδδάφι (πῶς γὰρ οὔ;) ὁ ἄρχων τοῦτο ἐν νῷ οὐκ ἔχει (ἡδὺ γὰρ τὸ ἄρχειν ἐστίν...).

## Bin Laden killed / Last soldier of WWI dies

(07-05-11)

### Τὸν Βὶν Λάδεν ἀποκτείνουσιν

Ὁ Ὀσάμα Βὶν Λάδεν, ὁ τρομοκράτης ὃς τοὺς Διδύμους τῆς Νέας Ὑόρκης Πύργους διαφθείρειν ἐκέλευε καὶ αἴτιος ἐγένετο τοῦ τοσούτων πολιτῶν θανάτου, ἀπέθανεν ὑπὸ τῶν Ἀμερικανῶν στρατιωτῶν τῇ Κυριακῇ ἐγγὺς τοῦ Ἰσλαμαβᾶδ. ἐξ οὗ ἐκ τοῦ Ἀφγανιστᾶν ἐξέφυγεν, οἱ Ἀμερικανοὶ αὐτὸν πανταχῇ μὲν ἐζήτουν, μάτην δέ, οὗτος γὰρ πρῶτον μὲν ἐν τοῖς ὄρεσι ἀπεκρύφθη, ἔπειτα δὲ εἰς τὸ Πακιστᾶν εἰσελθὼν ἐν ταύτῃ τῇ χώρᾳ ἀσφαλὴς σὺν τοῖς περὶ ἑαυτοῦ ἔμενεν, ἐκεῖθεν δὲ τοὺς τρομοκράτας ἐπὶ τὰς ΗΑΠ καὶ τὸ Ἰσραῆλ ἐπώτρυνεν· τέλος δὲ οἱ Ἀμερικανοὶ στρατιῶται αὐτὸν ηὗρον ἐν μεγάλῃ οἰκίᾳ ἐγγὺς τοῦ Ἰσλαμαβᾶδ κειμένῃ, ἀκριβῶς δὲ ἐν κώμῃ Ἀββοτταβᾶδ καλουμένῃ· αὐτὸν δὲ ἐκεῖ εὑρόντες, οἱ στρατιῶται μῆνας πολλοὺς ἔμενον, πολλῶν γὰρ φυλάκων τὴν οἰκίαν φυλαττόντων ἔδει πάντα ἀκριβῶς παρασκευάζειν (εἰ τὸν Βὶν Λάδεν εὑρόντες ἐπείρασαν εὐθὺς εἴτε καταλαβεῖν εἴτε ἀποκτείνειν, οὗτος αὖθις ἔφυγεν ἄν). ἐκεῖ οὖν μακρὸν χρόνον μένοντες τοὺς φύλακας ἔλαθον οὐδὲ εἰς τὴν οἰκίαν εἰσῆλθον πρὶν ὁ πρόεδρος Ὀβάμα ἐκέλευσεν. τοῦ προέδρου κελεύσαντος, τὸ χωρίον κατὰ κράτος αἱροῦντες ἄλλους τε τέτταρας ἀπέκτειναν καὶ τὸν Βὶν Λάδεν, τότε δὲ τὸν νεκρὸν ἐκ τῆς οἰκίας ἀπενεγκόντες ἑλικοπτέρῳ πρὸς ναῦν τινὰ προσήνεγκον, ἐκεῖ δὲ τὰ ἰσλαμικὰ νόμιμα ποιήσαντες εἰς τὴν θάλατταν ἀπέρριψαν. τὰς δὲ φωτογραφίας τὰς τὸν τοῦ Βὶν Λάδεν νεκρὸν δεικνύσας ἐκδοῦναι οὐ βούλονται, φοβοῦνται γὰρ μὴ αὕτη ἡ ὄψις τοὺς τῷ Βὶν Λάδεν ἐπικουροῦντας ἔτι μᾶλλον ἐποτρύνῃ, τῇ δὲ τοῦ Πακιστᾶν ἀρχῇ ταύτην τὴν οἰκίαν οὗ ὁ Βὶν Λάδεν ᾤκει κατασκάπτειν δοκεῖ, φοβουμένῃ μὴ ἡ οἰκία νέως γένηται ἄλλοις τρομοκράταις.

### Ὁ τελευταῖος στρατιώτης τοῦ Πρώτου Παγκοσμίου Πολέμου ἀποθνῄσκει

Ὁ Κλαῦδος Σιωούλης, ἑκατὸν καὶ δέκα ἔτη γεγονώς, ἐν τῇ Αὐστραλίᾳ ἀπέθανε προχθές. πάντες οἱ στρατιῶται οἳ ἐν τῷ Πρώτῳ Παγκοσμίῳ Πολέμῳ ἐμαχέσαντο ἤδη πάλαι ἀπέθανον, πάντες πλὴν τούτου. ὁ μὲν Σιωούλης Βρεταννὸς ἦν τὸ πρῶτον, ἐν γὰρ τῇ Ἀγγλίᾳ ἐγένετο,

τέτταρα καὶ δέκα δὲ ἔτη γεγονώς, τοῦ πολέμου ἤδη ἀρξαμένου, ναύτης ἐγένετο ἐν τῷ Βρεταννικῷ ναυτικῷ· ἔπετα δέ, τοῦ πολέμου ἤδη τελευτήσαντος, πρὸς τὴν Αὐστραλίαν ἀπῳκίσατο καὶ Αὐστραλιανὸς πολίτης γενόμενος ἐν τῷ Αὐστραλιανῷ στρατεύματι πολλὰ ἔτη ἐστρατεύετο, ἐκεῖ δὲ εἰσαεὶ ἔμεινεν. ἄρτι δὲ βίβλον ἐξέδωκεν "Ὁ τελευταῖος τῶν τελευταίων" τὴν ἐπιγραφὴν ἔχουσαν.

## 88 killed in Pakistan / Many Israel citizens, to choose their birthday / Is Gaddafi wounded?

(14-05-11)

### Ὀγδοήκοντα καὶ ὀκτὼ ἐν τῷ Πακιστᾶν ἀποθνῄσκουσιν

Ἕνδεκα ἡμερῶν παρελθουσῶν ἐξ οὗ ὁ Βὶν Λάδεν ὑπὸ τῶν ΗΑΠ ἀπέθανεν, ὀγδοήκοντα καὶ ὀκτὼ ἄνθρωποι ἐν διπλῇ τρομοκρατικῇ προσβολῇ ἀπέθανον χθὲς ἐν τῷ ἀρκτικῷ Πακιστᾶν. τούτων δὲ τῶν ἀποθανόντων ἑβδομήκοντα μὲν καὶ ἐννέα νέοι στρατιῶται, οἱ δὲ ἄλλοι ἐννέα πολῖται ἦσαν· πρὸς δὲ τούτῳ, ἑκατὸν καὶ πέντε ἐβλάβησαν, τούτων δὲ εἴκοσι καὶ πέντε δεινῶς. τοῦ μὲν Βὶν Λάδεν ἐγγὺς τοῦ Ἰσλαμαβὰδ εὑρεθέντος, μάλα ἐλέγετο περὶ τοῦ Πακιστᾶν, ἔνιοι γὰρ ἔλεγον ὅτι αὕτη ἡ χώρα τὸν Βὶν Λάδεν ἐκ προνοίας κρύψειέ τε καὶ βοηθήσειεν, τούτου δὲ ἕνεκα οἱ τοῦ Πακιστᾶν ἄρχοντες διαβεβαιοῦνται νῦν περὶ τῆς προσβολῆς ὅτι τοῦτο μὲν τεκμήριόν ἐστιν ὅτι οἱ αἰτιώμενοι οὐ τἀληθῆ ἔλεγον, ἄλλο δὲ τεκμήριόν ἐστιν ὅτι ἄλλοι πεντακισχίλιοι πολῖται τοῦ Πακιστᾶν ὑπὸ τῆς ὀργανώσεως ̃Αλ Καῖδα ἀπέθανον ἐξ οὗ αἱ ἐν τῇ Νέᾳ Ὑόρκῃ τρομοκρατικαὶ προσβολαὶ συνέβησαν.

### Πολλοὶ πολῖται τοῦ Ἰσραῆλ τὴν ἡμέραν γενέσεως αἱρήσονται

Κατὰ νόμον τινὰ νεωστὶ ἐψηφισμένον ἔξεσται πολλοῖς πολίταις τοῦ Ἰσραῆλ τὴν ἡμέραν γενέσεως αἱρεῖσθαι· ὁ τῆς χώρας πρωθυπουργὸς τοῦτο τοῖς δημοσιογράφοις ἐξηγούμενος εἶπεν ὅτι πολλοὶ μὲν ἐπηλύται πάλαι παρὰ πολλὰ ἔτη εἰς τὸ Ἰσραῆλ ἀφίκοντο οὐδὲν τεκμήριον τῆς γενέσεως ἔχοντες, διὰ δὲ τοῦτο οἱ τῶν τότε ἀρχῶν γραμματεῖς τὸ μὲν ἔτος ἔγραψαν ᾧ οἱ ἐπηλύται εἶπον γεγονέναι, τὴν δὲ ἡμέραν καὶ τὸν μῆνα οὐκ ἔγραψαν, οἱ γὰρ νεωστὶ ἀφικόμενοι οὐκ ᾔδεσαν. οὐκ ἐξὸν ἀκριβῶς τήν τε ἡμέραν καὶ τὸν μῆνα εἰδέναι,

πολλοὶ γὰρ ἄνευ γονέων εἰς τὸ Ἰσραῆλ ἀφίκοντο ἔτι παῖδες ὄντες, ἡ ἀρχὴ ἐᾷ αὐτοὺς νῦν τήν τε ἡμέραν καὶ τὸν μῆνα (τὰ γενέσια) αἱρεῖσθαι.

**Ἆρα βέβλαπται ὁ Γαδδάφι;**

Ὁ τῶν ἐξωτερικῶν ὑπουργὸς τῆς Ἰταλίας, ὁ Φράνκω Φραττίνι, διαβεβαιοῦται ὅτι ὁ Γαδδάφι ὑπὸ τῶν Ἀμερικανῶν βλαβεὶς τὴν μὲν Τρίπολιν κατέλιπε προχθές, ἐν δὲ τῇ ἐρήμῳ (ἐντὸς τῆς Λιβύης) μένει. ὅμως δέ, ἐν τῷ παρόντι οὐκ ἐξῆν τούτου τοῦ ἀγγέλματος ἔλεγχον δοῦναι.

## Saif al-Adel, successor of Bin Laden / Russia prepares documents on Katyn massacre

(21-05-11)

**Ὁ Σαῖφ Ἀλ Ἀδέλ, διάδοχος τοῦ Βὶν Λάδεν**

Κατὰ τὴν CNN, ἡ τρομοκρατικὴ ὀργάνωσις Ἀλ Καῖδα τὸν Σαῖφ Ἀλ Ἀδέλ διάδοχον τοῦ Βὶν Λάδεν εἵλετο. οὗτος ὁ ἄνθρωπος ἡγεμὼν ἦν τοῦ ἐν τῇ Αἰγύπτῳ μέρους τῆς Ἀλ Καῖδα, αὐτὸν δέ, πεντήκοντα ἔτη ἐν τῇ Αἰγύπτῳ γεγονότα, ὀνομάζουσι καὶ Μακκάουι οἱ περὶ αὐτοῦ. κατὰ δὲ τὴν CNN, ὀκτὼ τῶν τῆς Ἀλ Καῖδα ἀρχόντων νεωστὶ συνῆλθον μὲν εἴτε ἐν τῷ Ἀφγανιστὰν εἴτε ἐν τῷ Πακιστάν, ἐγγύς που δὴ τοῦ ὅρου, ἵνα τὸν διάδοχον ἕλοιντο, διὰ δὲ μακροῦ ἀλλήλοις ἀμφισβητήσαντες τὸν Ἀλ Ἀδὲλ εἵλοντο. ὅμως δὲ διὰ ταύτην τὴν αἵρεσιν ἅμιλλαί τινες ἐντὸς τῆς Ἀλ Καῖδα ἴσως γενήσονται νῦν, κατὰ γὰρ πολλοὺς τῶν ἄλλων ἀρχόντων οὐ παρόντων δεῖ τὸν νέον διάδοχον ἐκ τῆς Ἀραβικῆς Χερσονήσου γεγονέναι.

ὁ Ἀλ Ἀδέλ, καίπερ τὴν γένεσιν Αἰγύπτιος ὤν, ἐπὶ τὸν σοβιετικὸν στρατὸν ἐν τῷ Ἀφγανιστὰν ἐμαχέσατο, ἔπειτα δὲ ἐκεῖ ἔμενεν ἕως οἱ ταλιβάνες ἐκ τῆς ἀρχῆς ὑπὸ τῶν Ἀμερικανῶν ἐξέπεσον, ἐκεῖθεν δὲ τότε πρὸς τὸ Ἰρὰν ἐκφυγὼν ἐν ταύτῃ τῇ χώρᾳ τὸ μέρος τῆς Ἀλ Καῖδα ἐν τῇ Αἰγύπτῳ πρῶτον μὲν παρεσκεύασεν, ἔπειτα δὲ αὐτὸς ἦρξεν. αὕτη ἡ αἵρεσις ἐξ ἀπροσδοκήτου ἥκει, οἱ γὰρ ἔμπειροι ἐνόμιζον τὸν τοῦ Βὶν Λάδεν διάδοχον τὸν Ἀλ Ζαουαχίρι ἔσεσθαι· καὶ ὁ Ἀλ Ζαουαχίρι Αἰγύπτιός ἐστιν ὡς ὁ Ἀδέλ, καὶ δὴ καὶ "ἀριθμὸς δύο" τῆς Ἀλ Καῖδά ἐστιν.

**Ἡ Ῥωσία τοὺς χάρτας περὶ τοῦ ἐν τῷ Κάτυν φόνου παρασκευάζει**

Ἡ Ῥωσία τοὺς χάρτας τῇ τῆς Πολωνίας ἀρχῇ παραδώσει οἳ ἔτι ἐν τῷ Κρέμλιν κεῖνται· οὗτοι οἱ χάρται τεκμήρια παρέχουσι περὶ τοῦ ἐν τῷ Κάτυν φόνου, οὗ μυρίοι Πολωνικοὶ λοχαγοὶ ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ ἀπέθανον τοῦ Στάλιν κελεύσαντος· τοῦ πολέμου ἤδη τελευτήσαντος, ἡ μὲν τῆς Σοβιετικῆς Ἑνώσεως ἀρχὴ ἀεὶ διεβεβαιοῦτο ὅτι οὗτοι οἱ λοχαγοὶ ὑπὸ τῶν Γερμάνων ἀπέθανον, οὐ μέντοι ὑπὸ τῶν σοβιετικῶν, τέλος δὲ ὁ Γορβαζὼφ ὡμολογήσατο ὅτι οὗτοι ὑπὸ τῶν τοῦ Στάλιν στρατιωτῶν ἀποθάνοιεν. ἔπειτα δὲ ὁ μὲν Ἰέλζιν, πρόεδρος τῆς ἤδη νέας Ῥωσίας γενόμενος, τῷ τότε προέδρῳ τῆς Πολονίας Λὲξ Βαλέσα χάρτας τινὰς παρέδωκεν οἳ τἀληθῆ ἐδήλουν, νῦν δὲ ἡ Ῥωσία ἐπιθυμεῖ τοὺς λοιποὺς χάρτας τῇ Πολωνίᾳ παραδοῦναι.

## Allende corps, unburied / Radko Mladic, arrested / F. C. Barcelona, Champion of Europe

(30-05-11)

**Τὸν τοῦ Ἀλλένδε νεκρὸν ἐκθάπτουσιν**

Ἡ τῆς Χιλῆς ἀρχὴ ἐκέλευσε τὸν τοῦ Ἀλλένδε νεκρὸν ἀποθάψαι, οἱ γὰρ δικασταὶ ἐξετάζειν μὲν βούλονται νῦν τοὺς φόνους οἳ τοῦ στρατηγοῦ Αὐγούστου Πινοσὲτ δικτάτορος ὄντος ἐν τῇ χώρᾳ ἐγένοντο, τὴν δὲ αἰτίαν τοῦ θανάτου τοῦ Ἀλλένδε ἀκριβῶς εἰδέναι βούλονται. κατὰ μὲν τοὺς τοῦ Ἀλλένδε φίλους οὗτος ἑαυτὸν ἀπέκτεινε τῶν τοῦ Πινοσὲτ στρατιωτῶν τὸ βασίλειον ἤδη βίᾳ λαβόντων, οὐ γὰρ ἠθέλει ζωγρηθῆναι, νῦν δὲ ὁμὰς δώδεκα ἰατρῶν τὸν νεκρὸν ἀκριβῶς ἐξετάσει·

**Τὸν Ῥάδκο Μλάδικ καταλαμβάνουσιν**

Ὁ τῆς Σερβίας πρόεδρος, ὁ Βόρις Τάδικ, εἶπεν ὅτι ὁ πάλαι στρατηγὸς Ῥάδκο Μλάδικ καταληφθείη ἐν μικρᾷ τινι κώμῃ ἐγγὺς τοῦ Ζρενιάνιν κειμένῃ, οὗτος γὰρ ἐκεῖ, ψευδεῖ ὀνόματι χρώμενος, κατεκρύφθη καὶ πάντας ἔλαθε πολλὰ ἔτη μένων. οἱ δικασταὶ οἱ τοῦ

παγκοσμίου ὀργανισμοῦ ὃς ἐν τῇ Χάγῃ κεῖται αὐτὸν ἐζήτουν διὰ τοὺς φόνους τοὺς ἐν τῇ Βοσνίᾳ γενομένους, ἐκεῖ γὰρ ὀκτακισχίλιοι μὲν μουσουλμάνοι, ἄνθρωποί τε καὶ παῖδες, αὐτοῦ κελεύσαντος ἀλόγως ἀπέθανον, μυρίοι δὲ ἄλλοι ἐκ τῆς χώρας βίᾳ ἐξηλάθησαν· οἱ δὲ πλεῖστοι τούτων τῶν φόνων ἐν τῇ πόλει Σρεβρενίκῃ συνέβησαν, τῆς γὰρ πόλεως αἱρεθείσης οἱ Σέρβιοι στρατιῶται ἐθνοκάθαρσιν τοῦ Μλάδικ κελεύσαντος ἐποίησαν. καίπερ πασῶν τῶν χωρῶν εἰδυιῶν ὅ τι ἐκεῖ γίγνοιτο, τοῖς Σερβίοις οὐκ ἐμέλησε τίνα δόξαν περὶ ἑαυτῶν τῇ οἰκουμένῃ παρέχοιεν. ἔπειτα δέ, τοῦ πολέμου τελευτήσαντος, οἱ μὲν σύμμαχοι νικήσαντες πολλοὺς κρυπτοὺς τάφους ηὗρον ἐν οἷς μυρίοι νεκροὶ ἔκειντο, ἡ δὲ ΗΕΟ τοὺς τούτου αἰτίους ἐζήτει, τόν τε Ῥάδοβαν Καράδζικ καὶ τὸν Ῥάδκο Μλάδικ· ἐκεῖνος μὲν ἤδη τὸ τρίτον ἔτος κατελήφθη, νῦν δὲ τὸν ἄλλον φονέα ηὑρήκασιν.

**Ὁ Π. Σ. Βαρκελόνα τὸ Κύπελλον Πρωταθλητριῶν Εὐρώπης κτᾶται**

Ὁ Π. Σ. Βαρκελόνα, ἐκπρεπῶς ὑπὸ τοῦ προπονητοῦ Γουαρδιόλα κυβερνώμενος, τὸ Κύπελλον ἔκτησεν ἐν ἀγῶνι ἐπὶ τὸν Π. Σ. Μάνσιεστερ· μετὰ δὲ τὸν ἀγῶνα πάντες μὲν οἱ δημοσιογράφοι ὡμολογοῦντο ὅτι ὁ Βαρκελόνα δικαίως τὸ κύπελλον ἐδέξατο, ὁ δὲ Μέσσι βέλτιστον ποδοσφαιριστὴν τοῦ ἀγῶνος ᾑρέθη· νῦν δὲ πολλαὶ ὁμάδες τὸν Γουαρδιόλα ὡς προπονητὴν ἔχειν βούλονται.

## EU to take its citizens out of Yemen / Mugabe accepts to delay elections / The Forbidden City will show its garden

(05-06-11)

**Ἡ ΕΕ τοὺς ἑαυτῆς πολίτας ἐκ τῆς Ὑεμένης ἐξελαύνει**

Ἐν τῇ Ὑεμένῃ πανταχοῦ τε καὶ παντελῶς ταραχὴ πάρεστιν, ἐξ οὗ μὲν γὰρ ἡ τοῦ προέδρου Σαλὲ ἀρχὴ καὶ αἱ φυλαὶ αὐτῷ ἀνθιστάμεναι μαχόμεναι ἤρξαντο τὰ ἀγγέλματα ἃ οἱ δημοσιογράφοι κτῶνται παντελῶς ἀσαφῆ ἐστιν, οὐδεὶς δὲ οἶδεν οὗ ὁ πρόεδρός ἐστιν, ἡ μὲν γὰρ τηλεοπτικὴ ὀργάνωσις ̃Αλ Ἀράβια λέγει ὅτι ὁ πρόεδρος, προσβολῇ τινι βλαβείς, πρὸς τὴν Σαουδικὴν Ἀραβίαν ἔπτετο ἵνα ὑπὸ ἰατρῶν θεραπεύηται, ἡ δὲ ἀρχὴ λέγει ὅτι τοῦτο ψευδές ἐστιν· ὅμως δὲ ὁμολογεῖται ἡ ἀρχὴ ὅτι τέτταρες ἄλλοι ἄρχοντες ἐν τῇ Σαουδικῇ

Ἀραβίᾳ εἰσὶ νῦν ὑπὸ ἰατρῶν θεραπευόμενοι. τούτων δὲ οὕτως ἐχόντων, τῇ Εὐρωπαικῇ Ἑνώσει ἔδοξε τοὺς ἑαυτῆς πολίτας ἐκ ταύτης τῆς χώρας αὐτίκα ἐξελαύνειν, οὐ μέντοι πάντας, οἱ γὰρ διπλωμάται καὶ οἱ πρεσβευταὶ κ.τ.λ. ἐν τῇ Ὑεμένῃ μενοῦνται.

**Ὁ Μουγάβε δέχεται τὰς ἀρχαιρεσίας ἀναβαλέσθαι**

Ὁ πρόεδρος Μουγάβε ἐν νῷ εἶχε τὰς ἀρχαιρεσίας τούτῳ τῷ ἔτει ποιῆσαι πρὶν τὴν πολιτείαν μεταβαλεῖν, οὕτω γὰρ αὖθις ἐνίκα ἄν· ὅμως δέ, τῶν ἀνθισταμένων ταύτην τὴν προαίρεσιν οὐ δεξαμένων, ἐδέξατο τέλος ὁ Μουγάβε πρῶτον μὲν τὴν πολιτείαν μεταβαλεῖν, δεύτερον δὲ τὰς ἀρχαιρεσίας ποιῆσαι, αἱ οὖν ἀρχαιρεσίαι τοῦ ἐπιόντος ἔτους συμβήσονται. εἴκοσι ἔτη μόνος ἄρξας, ἤδη μὲν τὸ δεύτερον ἔτος νέαν ἀρχὴν ἐνίοις τῶν ἀνθισταμένων συμποιῆσαι ἐδέξατο, νῦν δὲ κατὰ τούτους τοὺς ἀνθισταμένους δεῖ τὴν πολιτείαν μεταβαλεῖν πρὶν ἀρχαιρεσίας ποιῆσαι.

**Ἡ ἀπόρρητος πόλις τὸν παράδεισον δείξει**

Τοῦ τελευταίου τῆς Σίνης βασιλέως ἐκ τῆς ἀπορρήτου πόλεως ἐξελθόντος, αἱ μὲν θύραι ἐκλείσθησαν καὶ οὕτως πολὺν χρόνον ἔμενον, ἔπειτα δὲ τὸ πλεῖστον μέρος τῆς πόλεως τοῖς τουρίσταις ἀνεῴχθη πλὴν τοῦ παραδείσου τοῦ βασιλέως, οὗτος δὲ ὁ παράδεισος ἑκατὸν ἔτη κεκλεισμένος ἔμενεν· νῦν δέ, δόξαν τοῖς τῆς Σίνης ἄρχουσι τὸν παράδεισον ἐπανορθοῦν (τὸ τῆς ἐπανορθώσεως τίμημα εἴκοσι καὶ πέντε ἑκατομμύρια δολάρων ἔσται), ἔξεσται καὶ τοῦτο δι᾽ ὀλίγου ὁρᾶν, καὶ δὴ καὶ ἔξεστι νῦν ἐνίους τῶν θησαυρῶν ἐκεῖ ἐμμενόντων θαυμάζειν, πρὸς γὰρ τὸ Μιλγουόκι (ἐν τῷ Οὐισκόνσιν) προσηνέχθησαν, ἐκεῖ δὲ ἐν μουσείῳ τινὶ μενοῦνται ἕως ἡ ἐπανόρθωσις τελευτὴν ἔχῃ.

## Revolt in Syria has no end / Man who wrote Schindler's list dies

(11-06-11)

**Ἡ ἀνάστασις ἐν τῇ Συρίᾳ οὐ τέλος ἔχει**

Εἴκοσι μὲν καὶ δύο ἄνθρωποι ἀπέθανον τῇ Παρασκευῇ, πολλοὶ δὲ ἄλλοι ἐβλάβησαν, τῶν στρατιωτῶν τοὺς διαδηλοῦντας πολίτας οἳ κατὰ πᾶσαν τὴν χώραν τὸν Ἀσᾶδ ἐκ τῆς ἀρχῆς ἐκβαλεῖν πειρῶνται καταπαυόντων. ἡ μὲν ὁμὰς Σιάμ, ἣ πάντας τοὺς τῷ Ἀσᾶδ ἀνθισταμένους ἀθροίζει, εἶπεν ὅτι οἱ διαδηλωταὶ ὑπὸ τῶν στρατιωτῶν ἀποθάνοιεν, ἡ δὲ τῆς ἀρχῆς τηλεόρασις τοὐναντίον εἶπεν, διεβεβαιώσατο γὰρ ὅτι τρομοκράται τινὲς τοῖς στρατιώταις ἐπιθεῖντο. οἱ μὲν ξένιοι δημοσιογράφοι ἐξευρεῖν ἐπείρασαν ὅστις τἀληθῆ λέγοι, τοῦτο δὲ ἐξευρεῖν οὐκ ἐξῆν, ἡ γὰρ τοῦ Ἀσᾶδ ἀρχὴ ἐξετάζειν οὐκ ἐᾷ. καὶ δὴ καί, τούτων οὕτως ἐχόντων, μυρίοι Σύριοι φυγάδες διὰ τοῦ ὅρου εἰς τὴν Τουρκίαν διέβησαν, ὁ γὰρ Ἀσᾶδ πρὸς τὴν πόλιν Ἰδλῖβ πολλοὺς στρατιώτας ἔπεμψεν. ὁ τῆς Τουρκίας τῶν ἐξωτερικῶν ὑπουργός, ταύτην τὴν ἔξοδον προιδών, κέντρον ἐκεῖ παρὰ τῷ ὅρῳ κατέστησεν ἵνα τοὺς φυγάδας δέχοιτο, ἡ δὲ ἀρχὴ χρήματα ἐκεῖσε ἔπεμψεν ἵνα αὐτοὺς ὠφελοίη. κατὰ τὴν τῆς Τουρκίας ἀρχήν, οἱ πλεῖστοι τῶν φυγάδων γέροντες καὶ γυναῖκες καὶ παῖδές εἰσιν, λέγει δὲ ὁ προθυπουργὸς ὅτι οὐκ ἔξεστι τὴν θύραν κλεῖσαι τοῖς πρὸς τὴν σωτηρίαν φεύγουσιν. ἀλλὰ ἡ τῆς Τουρκίας ἀρχὴ ἅμα κωλύειν πειρᾷ Κούρδους στασιώτας εἰς τὴν χώραν σὺν τοῖς φυγᾶσιν εἰσελθεῖν.

**Ὁ τὸν τοῦ Σίνδληρ κατάλογον γράψας ἀποθνῄσκει**

Ὁ Μιέτεκ Πέμπηρ, ὃς τὸν τοῦ Ὄσκαρ Σίνδληρ κατάλογον ἔγραψε (οὗτος ὁ κατάλογος χιλίους καὶ διακοσίους Ἰουδαίους ἔσωσεν), ἐνενήκοντα καὶ ἓν ἔτη γεγονὼς ἀπέθανεν. ὁ Πέμπηρ ἔτι καὶ νῦν ἐν τῇ Γερμανίᾳ ᾤκει, ἐν τῷ Αὔγσβουργ, οὗ ἀπέθανεν. ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ ἐγένετο ὁ Πέμπηρ γραφεὺς τοῦ Ἄμων Γοέζ, φοβεροῦ ἄρχοντος τοῦ συγκεντρώσεως στρατοπέδου ἐν τῷ Πλάσζοφ. δόξαν τοῖς Γερμανικοῖς ἄρχουσι τοῦτο τὸ στρατόπεδον κλεῖσαι καὶ τοὺς δεσμώτας πρὸς τὸ Αὔσβιζ ἀποπέμψαι (οὗ πάντες ἀναγκαίως ἀποθάνοιεν ἄν), ὁ Σίνδληρ χιλίους καὶ διακοσίους δεσμώτας ἐπρίατο ἵνα σώσειεν, αὐτοὺς δὲ πρὸς ἐργαστήριόν τι προσήνεγκεν, ὁ δὲ Πέμπηρ τὸν κατάλογον τὰ ὀνόματα δεικνύοντα τούτων οὓς πρίασθαι ἔδει ἔγραψεν.

Πάντες τὸ ἐνδοξότατον κινηματογραφικὸν τοῦ Σπιέλβεργ ἔργον εἴδομεν, ἐν δὲ τούτῳ τῷ ἔργῳ ὁ Ἰσᾶκ Στέρν, γραφεὺς τοῦ Ὄσκαρ Σίνδληρ, τὸν κατάλογον γράφει, ἀλλὰ τῷ ὄντι ὁ Πέμπηρ αὐτὸν ἔγραψεν.

## Do you want to buy Al Capone's gun? / King of Morocco modifies constitution

(18-06-11)

**Ἆρα τὸ πιστόλιον τὸ τοῦ Αλ Καπόνε πρίασθαι βούλει;**

Πάντες ἴσμεν ὅστις ὁ Ἀλ Καπόνε ἦν (τίς γὰρ τὸ κινηματογραφικὸν ἔργον "Οἱ Ἀδιάφθοροι" οὐκ εἶδεν;)· ὁ ἄνθρωπος ὃς πολλὰ ἔτη τῆς πόλεως Σικάγο ἦρχεν ἐν ἐκείνῳ τῷ χρόνῳ ὅτε ἔδει τοὺς Ἀμερικανοὺς πολίτας τῷ νόμῳ Βόλστεαδ πείθεσθαι (ἐκεῖνον τὸν νόμον τὸν "Ξηρὸν Νόμον" ἐκάλεσαν, κατὰ γὰρ αὐτὸν οὐκ ἐξῆν ἀλκοόλην πίνειν). ὁ Α. Κ., τῶν ἑαυτοῦ μισθωτῶν φονέων τοὺς ἐχθροὺς τῇ νυκτὶ τοῦ Ἁγίου Βαλεντίνου ἀποκτεινάντων, ἐγένετο ὁ φοβερώτατός τε καὶ ἐνδοξότατος τῶν τότε γαγγστέρων. νῦν τὸ πιστόλιον ᾧ τοσούτους ἄλλους ἀνθρώπους ἀπέκτεινεν, Κὸλτ 38, ἐν τῷ Λονδίνῳ ὑπὸ Χηριστιεῦσ ἀποκηρύξει.

ὁ Α. Κ. ἐν τῷ δεσμωτηρίῳ ἑπτὰ ἔτη ἔμενεν, ἐν τῇ νήσῳ Ἀλκατράζ (ὅμως δὲ αὐτὸν εἰς τὸ δεσμωτήριον ἐνέβαλον οὐχ ἅτε ἄλλους πολίτας ἀποκτείναντα, ἀλλὰ ἥδε ἦν ἡ αἰτία· δασμοὺς οὐκ ἀπέτεισεν)· ἔπειτα δὲ λυθεὶς ἐν τῷ Μιάμι ᾤκει, οὗ μάλα νοσήσας ἀπέθανε τετταράκοντα καὶ ὀκτὼ ἔτη γεγονώς.

**Ὁ βασιλεὺς τοῦ Μαρόκο τὴν πολιτείαν μεταβάλλει**

Ὁ Μουαμὰδ Ἕκτος, βασιλεὺς τοῦ Μαρόκο, ἤγγειλε νεωστὶ ὅτι τὴν πολιτείαν μεταβαλεῖν ἐν νῷ ἔχοι· καίπερ οὐκέτι πάντα περὶ ταύτης τῆς μεταβολῆς ἐξεκάλυψεν, λέγεται ὅτι νῦν ἴσως ὁ μὲν βασιλεὺς οὐ τοσαύτην ἀρχὴν ἕξει ὥσπερ τὸ πρότερον, ὁ δὲ πρωθυπουργὸς πλείονα ἀρχὴν ἕξει.

ἐξ οὗ αἱ ἐπαναστάσεις τῷ Μαρτίῳ ἤρξαντο, ᾔσθετο ὁ βασιλεὺς ὅτι δέοι μεταβολάς τινας, καὶ εἰ μικρὰς οὔσας, εἰς τὴν πολιτείαν εἰσθεῖναι καὶ μέρος τι μικρὸν τῆς τυραννίδος καταλιπεῖν εἰ βούλοιτο τὸ πλεῖστον τῆς ἀρχῆς σῴζειν· τούτων δὲ ἐπιμελούμενος πέντε μὲν νομοθέτας εἵλετο ἵνα ταύτην τὴν τῆς πολιτείας μεταβολὴν ποιήσαιεν, νῦν δὲ οὗτοι οἱ νομοθέται τὸ ἔργον ἤδη τελευτήσαντες τῷ βασιλεῖ τὸ ἀποβαῖνον ἔδειξαν, λέγεται δὲ ὅτι ὁ βασιλεὺς ταύτας τὰς μεταβολὰς ἡδέως δέδεκται ἅτε οὐκ ἀμέτρους οὔσας. κατὰ ταύτην τὴν νέαν

πολιτείαν ὁ βασιλεὺς οὐκέτι "ἱερὸς" νομισθήσεται, ὅμως δὲ διατελέσει ἡγεμῶν ὢν τῆς μουσουλμανικῆς θεραπείας· καὶ δὴ καὶ τὸ Μαρόκο "Μουσουλμανικὴ Χώρα" νομισθήσεται. περὶ τῶν γλωττῶν, νῦν ἡ βερβὴρ (καὶ "ἀμαζὶγ" καλουμένη) νόμιμος γενήσεται, τὸ αὐτὸ καὶ ἡ ἀραβικὴ γλῶττα (οἱ ἰσλαμισταὶ ἐπειράσαντο τοῦτο κωλύειν, οὐ γὰρ βούλονται τὴν βερβὴρ γλῶτταν εἰς τὴν πολιτείαν δέχεσθαι).